κατατιθέναι, déposer, placer : καὶ « δίφρον ἀεικέλιον **καταθεὶς** ὀλίγην τε τράπεζαν », « δίφρον μοχθηρὸν καταθεὶς μικράν τε τράπεζαν » 58 b 29 & 30 (cf. Homère, *Odyssée*, XX, 259).

καταψηφίζεσθαι, condamner : καὶ αὐτοὶ **καταψηφισάμενοι** συλλογίζονται, καὶ ὡς εἰρηκότος [sc. τοῦ ποιητοῦ] ὅ τι δοκεῖ ἐπιτιμῶσιν 61 b 2.

κατηγορία (ἡ), accusation, reproche : πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία, ἀλλὰ τῆς ὑποκριτικῆς 62 a 5.

κατιδεῖν, voir, observer : μετατιθεὶς ἄν τις τὰ κύρια ὀνόματα **κατίδοι** ὅτι ἀληθῆ λέγομεν 58 b 19.

κατορθοῦν, bien conduire, mener à bien : ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων τραγικώταται αἱ τοιαῦται [sc. τραγῳδίαι] φαίνονται, ἂν **κατορθωθῶσιν**, καὶ ὁ Εὐριπίδης... 53 a 28.

κεῖσθαι, être établi : **κεῖται** δ' ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν 50 b 24 ; τὰ μὲν οὖν περὶ τὴν διάνοιαν ἐν τοῖς περὶ ῥητορικῆς **κείσθω** 56 a 35 ; ἐνίοις δ' οὐκ ἔστιν ὄνομα **κείμενον** τῶν ἀνάλογον, ἀλλ' οὐδὲν ἧττον ὁμοίως λεχθήσεται 57 b 26. — Voir ὑποκεῖσθαι.

κελεύειν, donner un ordre : τὸ γὰρ **κελεῦσαι**, φησί, ποιεῖν τι ἢ μή, ἐπίταξίς ἐστιν 56 b 17.

Κένταυρος (ὁ), le *Centaure*, œuvre de Chérémon : καθάπερ Χαιρήμων ἐποίησε **Κένταυρον** μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων 47 b 21 (Nauck, p. 784 & Snell, I, p. 219).

κεραίειν, mélanger : καὶ τὸ « ζωρότερον δὲ **κέραιε** » οὐ τὸ ἄκρατον ὡς οἰνόφλυξιν, ἀλλὰ τὸ θᾶττον 61 a 15 (Homère, *Iliade*, IX, 203).

κεραννύναι, mélanger : δεῖ ἄρα **κεκρᾶσθαί** πως τούτοις [sc. τὴν λέξιν κεκρᾶσθαί πως γλώτταις, μεταφοραῖς, κόσμῳ, κ. τ. α.] 58 a 31 ; τὸ γὰρ ἀθροώτερον ἥδιον ἢ πολλῷ **κεκραμένον** τῷ χρόνῳ, λέγω δὲ οἷον εἴ τις τὸν Οἰδίπουν θείη τὸν Σοφοκλέους ἐν ἔπεσιν ὅσοις ἡ 'Ιλιάς 62 b 1 ; τῶν **κεκραμένων** ⟨οἰονοῦν⟩ οἶνόν φασιν εἶναι 61 a 27 ; « ζωρά τε πρὶν **κέκρητο** » 61 a 25 (Empédocle, D-K, I, p. 327).

κέρας (τὸ), corne : οἷον τὰ **κέρατα** « ἐρνύγας » 57 b 35 [cf. Hésychius : ἔρνυγας · ἔρνη, βλαστήματα, κλάδοι] ; ἔλαττον γάρ [sc. ἁμάρτημα], εἰ μὴ ᾔδει ὅτι ἔλαφος θήλεια κέρατα οὐκ ἔχει, ἢ εἰ ἀμιμήτως ἔγραψεν 60 b 31.

κερκίς (ἡ), navette : καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς **κερκίδος** φωνή [sc. ἀναγνώρισίς τις] 54 b 36 (Sophocle, *Térée* : Nauck, p. 261 & Snell, IV, p. 444).

Κεφαλῆνες (οἱ), les Céphalléniens : τὸ δ' ἴσως ἔχει ὥσπερ οἱ Κεφαλῆνές φασιν · παρ' αὐτῶν γὰρ γῆμαι λέγουσι τὸν 'Οδυσσέα, καὶ εἶναι 'Ικάδιον ἀλλ' οὐκ 'Ικάριον 61 b 6.

κιθάρισις (ἡ), jeu de la cithare : καὶ γὰρ ἐν ὀρχήσει καὶ αὐλήσει καὶ **κιθαρίσει** ἔστι γενέσθαι ταύτας τὰς ἀνομοιότητας, καὶ περὶ τοὺς λόγους δὲ καὶ τὴν ψιλομετρίαν 48 a 10.

κιθαριστής (ὁ), musicien joueur de cithare : ἀκούων γὰρ τοῦ **κιθαριστοῦ** καὶ μνησθεὶς ἐδάκρυσεν [sc. ὁ 'Οδυσσεύς] 55 a 3.

κιθαριστική [s. ent. τέχνη] (ἡ), l'art de jouer de la cithare : οἷον ἁρμονίᾳ μὲν καὶ ῥυθμῷ χρώμεναι μόνον ἥ τε αὐλητικὴ καὶ ἡ κιθαριστική, κἂν εἴ τινες

ἕτεραι τυγχάνουσιν οὖσαι τοιαῦται τὴν δύναμιν, οἷον ἡ τῶν συρίγγων 47 a 24; ἐποποιΐα δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ καὶ τῆς αὐλητικῆς ἡ πλείστη καὶ **κιθαριστικῆς**, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον 47 a 15.

κινεῖν, mettre en mouvement : ὥστε μετατιθεμένου τινὸς μέρους ἢ ἀφαιρουμένου διαφέρεσθαι καὶ **κινεῖσθαι** τὸ ὅλον 51 a 34 ; ὡς γὰρ οὐκ αἰσθανομένων, ἂν μὴ αὐτὸς προσθῇ, πολλὴν κίνησιν **κινοῦνται**, οἷον οἱ φαῦλοι αὐληταὶ κυλιόμενοι 61 b 30.

κίνησις (ἡ), mouvement : περιττὴ γὰρ καὶ ⟨ταύτῃ⟩ ἡ διηγηματικὴ κίνησις τῶν ἄλλων 59 b 37 *var.*; εἶτα οὐδὲ κίνησις ἅπασα ἀποδοκιμαστέα, εἴπερ μηδ' ὄρχησις, ἀλλ' ἡ φαύλων 62 a 8 ; ἔτι ἡ τραγῳδία καὶ ἄνευ **κινήσεως** ποιεῖ τὸ αὑτῆς, ὥσπερ ἡ ἐποποιΐα 62 a 11 ; πολλὴν **κίνησιν** κινοῦνται 61 b 30 (voir le précédent).

κινητικός, ή, όν, qui suscite le mouvement : τὸ δὲ ἰαμβεῖον καὶ τετράμετρον **κινητικά**, καὶ τὸ μὲν ὀρχηστικόν, τὸ δὲ πρακτικόν 60 a 1.

κλαίειν, pleurer : ὥσπερ ἡ [sc. ἀναγνώρισις] ἐν Κυπρίοις τοῖς Δικαιογένους· ἰδὼν γὰρ τὴν γραφὴν **ἔκλαυσεν** 55 a 2. — Voir δακρύειν.

Κλεοφῶν (ὁ), Cléophon : οἷον Ὅμηρος μὲν βελτίους [sc. εἴκαζεν τοὺς ἀνθρώπους], Κλεοφῶν δὲ ὁμοίους, Ἡγήμων δὲ ὁ Θάσιος... καὶ Νικοχάρης... χείρους 48 a 12 ; παράδειγμα δὲ [sc. λέξεως ταπεινῆς] ἡ **Κλεοφῶντος** ποίησις καὶ ἡ Σθενέλου 58 a 20 (voir Nauck, p. 962 & Snell, *Tr. G. F.*, I, p. 246-247).

κλεψύδρα (ἡ), clepsydre : εἰ γὰρ ἔδει ἑκατὸν τραγῳδίας ἀγωνίζεσθαι, πρὸς **κλεψύδρας** ἂν ἠγωνίζοντο, ὥσπερ ποτὲ καὶ ἄλλοτέ φασιν 51 a 8.

Κλέων (ὁ), Cléon : ... οἷον ἐν τῷ « βαδίζει Κλέων » ὁ Κλέων 57 a 28*.

Κλυταιμνήστρα (ἡ), Clytemnestre : τοὺς μὲν οὖν παρειλημμένους μύθους λύειν οὐκ ἔστιν, λέγω δὲ οἷον τὴν **Κλυταιμνήστραν** ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου 53 b 23.

κνημίς (ἡ), cnémide, jambière : ὅθεν πεποίηται « κνημὶς νεοτεύκτου κασσιτέροιο » 61 a 30 (Homère, *Iliade*, XXI, 592).

κοινός, ή, όν, commun ; **κοινῇ** (adv.), en commun : κόμμος δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς 52 b 24 ; οὐχ ὡς κατὰ τὴν μίμησιν ποιητάς, ἀλλὰ **κοινῇ** κατὰ τὸ μέτρον προσαγορεύοντες 47 b 15 ; οὐδὲν γὰρ ἂν ἔχοιμεν ὀνομάσαι **κοινὸν** τοὺς Σώφρονος καὶ Ξενάρχου μίμους καὶ τοὺς Σωκρατικοὺς λόγους 47 b 10 ; οὐδὲν δὲ κοινόν ἐστιν Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ πλὴν τὸ μέτρον 47 b 17 ; τὸ δὲ μέτριον κοινὸν ἁπάντων ἐστὶ τῶν μερῶν 58 b 12 ; **κοινὰ** μὲν ἁπάντων ταῦτα, ἴδια δὲ τὰ ἀπὸ τῆς σκηνῆς καὶ κόμμοι 52 b 17.

κοινωνεῖν, être, avoir ou agir en commun : διὰ δὲ τὸ κοινωνεῖν τοῦ εἰωθότος τὸ σαφὲς ἔσται 58 b 5 ; μανθάνειν οὐ μόνον τοῖς φιλοσόφοις ἥδιστον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως· ἀλλ' ἐπὶ βραχὺ **κοινωνοῦσιν** αὐτοῦ 48 b 14 ; οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως, ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν 53 b 10.

κολλᾶν, coller (appliquer une ventouse) : κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται, οἷον « ἄνδρ' εἶδον πυρὶ χαλκὸν ἐπ' ἀνέρι **κολλήσαντα** » 58 a 30 (énigme de Cléoboulina, citée dans la *Rhétorique*, p. 1405 b 1).

κόμμι (τὸ), gomme : εἰς δὲ τὸ Ι τρία μόνα [sc. ὀνόματα τελευτᾷ], μέλι, κόμμι, πέπερι 58 a 16.

κομμός (ὁ), *commos*, chant de deuil : κόμμος δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς 52 b 24 ; κοινὰ μὲν ἁπάντων ταῦτα, ἴδια δὲ τὰ ἀπὸ τῆς σκηνῆς καὶ **κόμμοι** 52 b 18.

κόρη (ἡ), jeune fille : τυθείσης τινὸς **κόρης** [sc. τῆς Ἰφιγενείας] καὶ ἀφανισθείσης ἀδήλως τοῖς θύσασιν 55 b 3.

κορυφαῖος (ὁ), coryphée, chef de chœur : οἷον οἱ φαῦλοι αὐληταὶ... ἕλκοντες τὸν **κορυφαῖον**, ἂν Σκύλλαν αὐλῶσιν 61 b 32.

κοσμεῖν, orner, embellir : ἔτι δὲ ἐπεισοδίων πλήθη καὶ τὰ ἄλλα ὡς ἕκαστα **κοσμηθῆναι** λέγεται, ἔστω ἡμῖν εἰρημένα 49 a 29.

κόσμος (ὁ), ornement, mot employé pour orner la phrase : ἅπαν δὲ ὄνομά ἐστιν ἢ κύριον ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ ὑφῃρημένον ἢ ἐξηλλαγμένον 57 b 2 ; τὸ μὲν γὰρ μὴ ἰδιωτικὸν ποιήσει μηδὲ ταπεινὸν ἡ γλῶττα καὶ ἡ μεταφορὰ καὶ ὁ κόσμος καὶ τἆλλα τὰ εἰρημένα εἴδη 58 a 33 ; ἔστι δὲ τὰ τοιαῦτα τὸ κύριον καὶ μεταφορὰ καὶ κόσμος 59 a 14.

κράζειν, crier : καὶ τὸ « ἠϊόνες βοόωσιν », « ἠϊόνες **κράζουσιν** » 58 b 31 (cf. Homère, *Iliade*, XVII, 265).

κρατεῖν, être maître : πολλοὶ δὲ πλέξαντες εὖ λύουσι κακῶς · δεῖ δὲ ἄμφω ἀεὶ **κρατεῖσθαι** 56 a 10. — Voir κροτεῖν.

Κράτης (ὁ), Cratès : τῶν δὲ Ἀθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους 49 b 7.

κράτιστος, η, ον, le meilleur : **κράτιστον** δὲ τὸ τελευταῖον, λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 4. — Voir le suivant.

κρείττων, ων, ον, meilleur, supérieur : εἰ οὖν ἐστι τὰ ἄλλα **κρείττων** [sc. ἡ τραγῳδία], τοῦτό γε οὐκ ἀναγκαῖον αὐτῇ ὑπάρχειν 62 a 13 ; φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον τοῦ τέλους τυγχάνουσα τῆς ἐποποιΐας 62 b 14 ; Πολύγνωτος μὲν γὰρ **κρείττους** [sc. τοὺς ἀνθρώπους], Παύσων δὲ χείρους, Διονύσιος δὲ ὁμοίους εἴκαζεν 48 a 6. — Voir ἀγαθός, ἀμείνων, ἄριστος, βελτίων, κράτιστος.

Κρεσφόντης (ὁ), Cresphontès, tragédie perdue d'Euripide : κράτιστον δὲ τὸ τελευταῖον, λέγω δὲ οἷον ἐν τῷ **Κρεσφόντῃ** ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 5 : Nauck, p. 501.

Κρέων (ὁ), Créon : τό τε γὰρ μιαρὸν ἔχει, καὶ οὐ τραγικόν · ἀπαθὲς γάρ. Διόπερ οὐδεὶς ποιεῖ ὁμοίως, εἰ μὴ ὀλιγάκις, οἷον ἐν Ἀντιγόνῃ τὸν **Κρέοντα** ὁ Αἵμων 54 a 1.

Κρῆτες (οἱ), les Crétois : τὸ γὰρ εὐειδὲς οἱ Κρῆτες εὐπρόσωπον καλοῦσιν 61 a 14.

κρῖ (τὸ), orge (au lieu de ἡ κριθή) : ἀφῃρημένον δὲ [sc. ὄνομα] οἷον τὸ « κρῖ » καὶ τὸ « δῶ » 58 a 5 (cf. Homère, *Iliade*, V, 196 ; VIII, 564 ; XX, 496, & *Odyssée*, IV, 41, 604 ; XII, 358).

κρίνειν, juger : τὸ μὲν οὖν ἐπισκοπεῖν ἄρ' ἔχει ἤδη ἡ τραγῳδία τοῖς εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε καθ' αὑτὸ **κρῖναι** καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος 49 a 8 (e corr. : *ibid. codd.* κρίνεται ἢ ναὶ *vel* κρίνεται εἶναι) ; δεῖ ἄρα **κεκρίσθαι** πως τούτοις 58 a 31 *var.* (corr. κεκρᾶσθαί πως) ; « ζωρά τε πρὶν **κέκριτο** » 61 a 25 *var.* (corr. κέκρητο Bekker : cf. Empédocle, D-K, I, p. 327-328).

κρίσις [ὅπλων] (ἡ), le *Jugement des armes*, titre de tragédie : καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, κ. τ. α. 59 b 5 (Eschyle : Nauck, p. 57-58 & Mette, p. 102-105).

κριτής (ὁ), juge : τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς **κριτάς** 51 b 37 *var.* (corr. ὑποκριτάς).

κροτεῖν, applaudir (pass. : se faire applaudir) : πολλοὶ δὲ πλέξαντες εὖ, λύουσι κακῶς · δεῖ δὲ ἄμφω ἀεὶ **κροτεῖσθαι** 56 a 10 *var.* (corr. : κρατεῖσθαι).

Κύκλωπες (οἱ), les *Cyclopes*, titre de pièces : ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους · ὥσπερ γὰρ **Κύκλωπας** Τιμόθεος καὶ Φιλόξενος, μιμήσαιτο ἄν τις 48 a 15.

κυλίεσθαι, s'agiter, se contorsionner : πολλὴν κίνησιν κινοῦνται, οἷον οἱ φαῦλοι αὐληταὶ **κυλιόμενοι**, ἂν δίσκον δέῃ μιμεῖσθαι 61 b 31.

Κύπρια (τὰ), les *Chants Cypriens*, poème épique : οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα 59 b 2 ; τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ **Κυπρίων** πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτὼ 59 b 4.

Κύπριοι (οἱ), les habitants de Chypre : τὸ γὰρ σίγυνον **Κυπρίοις** μὲν κύριον, ἡμῖν δὲ γλῶττα 57 b 6.

Κύπριοι (οἱ), les *Cypriens*, tragédie de Dicéogène : ἡ τρίτη δὲ [sc. ἀναγνώρισις] διὰ μνήμης, τῷ αἰσθέσθαι τι ἰδόντα, ὥσπερ ἡ ἐν **Κυπρίοις** τοῖς Δικαιογένους · ἰδὼν γὰρ τὴν γραφὴν ἔκλαυσεν 55 a 1 (Nauck, p. 775 & Snell, *Tr. G. F.*, I, p. 191).

κύριος, α, ον, décisif, efficace ; **κύριον ὄνομα**, mot consacré par l'usage & employé au sens propre, par opposition à la γλῶττα, mot rare & recherché : ἅπαν δὲ ὄνομά ἐστιν ἢ **κύριον** ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ ὑφῃρημένον ἢ ἐξηλλαγμένον 57 b 1 ; λέγω δὲ κύριον μὲν ᾧ χρῶνται ἕκαστοι, γλῶτταν δὲ ᾧ ἕτεροι, ὥστε φανερὸν ὅτι καὶ γλῶτταν καὶ κύριον εἶναι δυνατὸν τὸ αὐτό, μὴ τοῖς αὐτοῖς δέ · τὸ γὰρ σίγυνον Κυπρίοις μὲν κύριον, ἡμῖν δὲ γλῶττα 57 b 3, 5 & 6 ; ξενικὸν δὲ λέγω γλῶτταν καὶ μεταφορὰν καὶ ἐπέκτασιν καὶ πᾶν τὸ παρὰ τὸ κύριον 58 a 23 ; τὸ δὲ κύριον τὴν σαφήνειαν [sc. ποιήσει] 58 a 34 ; διὰ μὲν γὰρ τὸ ἄλλως ἔχειν ἢ ὡς τὸ κύριον, παρὰ τὸ εἰωθὸς γιγνόμενον, τὸ μὴ ἰδιωτικὸν ποιήσει 58 b 3 ; ἔστι δὲ τὰ τοιαῦτα τὸ κύριον καὶ μεταφορὰ καὶ κόσμος 59 a 14 ; ἓν δὲ μόνον ὄνομα μεταθέντος, ἀντὶ **κυρίου** ⟨καὶ⟩ εἰωθότος γλῶτταν, τὸ μὲν φαίνεται καλόν, τὸ δὲ εὐτελές 58 b 21 ; ταῦτα δ' ἐξαγγέλλεται **κυρίᾳ** λέξει 60 b 11 *var.* ; καὶ ἐπὶ τῆς γλώττης δὲ καὶ ἐπὶ τῶν μεταφορῶν καὶ ἐπὶ τῶν ἄλλων ἰδεῶν μετατιθεὶς ἄν τις τὰ **κύρια** ὀνόματα κατίδοι ὅτι ἀληθῆ λέγομεν 58 b 18 ; ... εἴ τις λέγοι τὰ κύρια μετατιθείς... 58 b 26 ; σαφεστάτη μὲν οὖν [sc. λέξις] ἐστιν ἡ ἐκ τῶν **κυρίων** ὀνομάτων, ἀλλὰ ταπεινή 58 a 19 ; κατὰ μὲν οὖν τὴν τῶν ⟨κυρίων⟩ ὀνομάτων σύνθεσιν οὐχ οἷόν τε τοῦτο ποιῆσαι, κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται 58 a 28 *var.* ; τὸ δὲ ἁρμόττον ὅσον διαφέρει, ἐπὶ τῶν ἐπῶν θεωρείσθω, ἐντιθεμένων τῶν ⟨κυρίων⟩ ὀνομάτων εἰς τὸ μέτρον 58 b 16 ; διὰ γὰρ τὸ μὴ εἶναι ἐν τοῖς **κυρίοις** ποιεῖ τὸ μὴ ἰδιωτικὸν ἐν τῇ λέξει ἅπαντα τὰ τοιαῦτα 59 a 2 ; ταῦτα δ' ἐξαγγέλλεται λέξει ἢ ⟨κυρίοις ὀνόμασιν ἢ⟩ καὶ γλώτταις καὶ μεταφοραῖς 60 b 11 *var.* ; ἔτι δὲ **κυριωτέρα** περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν ποιητῶν ἐστιν 50 b 20. — Voir γλῶττα, μεταφορά.

κωλύειν, empêcher : τῶν γὰρ γενομένων ἔνια οὐδὲν **κωλύει** τοιαῦτα εἶναι οἷα ἂν εἰκὸς γενέσθαι καὶ δυνατὰ γενέσθαι 51 b 31 ; σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν ἐκ πλειόνων φωνῶν πεφυκυῖαν συντίθεσθαι 57 a 1 ; ... ἢ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ... (*id.*) 57 a 8 ; οἷον « τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος », τῷ ταύτῃ **κωλυθῆναι** ποσαχῶς ἐνδέχεται 61 a 34.

κωμάζειν, se promener en bandes joyeuses, se livrer à une fête dans des chants & des danses : αὐτοὶ μὲν γὰρ [sc. οἱ Δωριεῖς] κώμας τὰς περιοικίδας καλεῖν φασίν, Ἀθηναίους δὲ δήμους, ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως 48 a 37.

κώμη (ἡ), bourg, village : αὐτοὶ μὲν γὰρ **κώμας** τὰς περιοικίδας καλεῖν φασίν, ... ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ 48 a 36 & 38 : voir le précédent.

κωμῳδεῖν, railler quelqu'un dans une comédie : ἔτι δὲ Ἀρειφράδης τοὺς τραγῳδοὺς **ἐκωμῴδει**, ὅτι ἃ οὐδεὶς ἂν εἴποι ἐν τῇ διαλέκτῳ, τούτοις χρῶνται 58 b 32.

κωμῳδία (ἡ), comédie : ἐποποιΐα δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ καὶ τῆς αὐλητικῆς ἡ πλείστη καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον 47 a 14 ; εἰσὶ δέ τινες αἳ πᾶσι χρῶνται τοῖς εἰρημένοις, λέγω δὲ οἷον ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ, ὥσπερ ἥ τε τῶν διθυραμβικῶν ποίησις καὶ ἡ τῶν νόμων καὶ ἥ τε τραγῳδία καὶ ἡ κωμῳδία 47 b 27 ; καὶ ἡ κωμῳδία... ἀπὸ τῶν [sc. ἐξαρχόντων] τὰ φαλλικά, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένει νομιζόμενα 49 a 10 ; ἡ δὲ κωμῳδία ἐστίν, ὥσπερ εἴπομεν, μίμησις φαυλοτέρων μέν, οὐ μέντοι κατὰ πᾶσαν κακίαν, ἀλλὰ τοῦ αἰσχροῦ ἐστι τὸ γελοῖον μόριον 49 a 31 ; ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν 49 a 37 ; διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς **κωμῳδίας** οἱ Δωριεῖς (τῆς μὲν κωμῳδίας οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα ὡς ἐπὶ τῆς παρ' αὐτοῖς δημοκρατίας γενομένης, καὶ οἱ ἐκ Σικελίας...) 48 a 30 & 31 ; οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν [sc. ὁ Ὅμηρος], οὐ ψόγον, ἀλλὰ τὸ γελοῖον δραματοποιήσας 48 b 36 ; παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας, οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν, οἱ μὲν ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοὶ ἐγένοντο, οἱ δὲ... 49 a 2 ; καὶ γὰρ χορὸν κωμῳδίας ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν 49 b 1 *var.* ; περὶ μὲν οὖν τῆς ἐν ἑξαμέτροις μιμητικῆς καὶ περὶ κωμῳδίας ὕστερον ἐροῦμεν, περὶ δὲ τραγῳδίας λέγωμεν 49 b 22 ; ἐπὶ μὲν οὖν τῆς κωμῳδίας ἤδη τοῦτο δῆλον γέγονεν 51 b 12 ; ἔστι δὲ οὐχ αὕτη ⟨ἡ⟩ ἀπὸ τραγῳδίας ἡδονή, ἀλλὰ μᾶλλον τῆς κωμῳδίας οἰκεία 53 a 36 ; περὶ δὲ ἰάμβων καὶ κωμῳδίας γράψω 62 b 18 *var.* ; ἐν δὲ τῇ αὐτῇ διαφορᾷ καὶ ἡ τραγῳδία πρὸς τὴν **κωμῳδίαν** διέστηκεν · ἡ μὲν γὰρ χείρους, ἡ δὲ βελτίους μιμεῖσθαι τῶν νῦν 48 a 17 ; ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς **κωμῳδίας** 49 a 2.

κωμῳδοποιός (ὁ), poète comique : παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας, οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν, οἱ μὲν ἀντὶ τῶν ἰάμβων **κωμῳδοποιοὶ** ἐγένοντο, οἱ δὲ ἀντὶ τῶν ἐπῶν τραγῳδοδιδάσκαλοι 49 a 4.

κωμῳδός (ὁ), comédien, auteur ou acteur comique : καὶ γὰρ χορὸν **κωμῳδῶν** ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν, ἀλλ' ἐθελονταὶ ἦσαν 49 b 1 ; χορὸν **κωμῳδοῖς**... ἔδωκεν 49 b 1 *var.* ; αὐτοὶ μὲν γὰρ [sc. οἱ Δωριεῖς] κώμας τὰς περιοικίδας καλεῖν φασίν, Ἀθηναίους δὲ δήμους, ὡς **κωμῳδοὺς** οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως 48 a 37.

* * *

Λάϊος (ὁ), Laios : ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον, εἰ δὲ μή, ἔξω τοῦ μυθεύματος, ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς ὁ Λάϊος ἀπέθανεν, ἀλλὰ μὴ ἐν τῷ δράματι 60 a 30.

Λάκαιναι (αἱ), les *Lacédémoniennes* (ou les *Laconiennes*), titre d'une tragédie de Sophocle : καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ [sc. τραγῳδίαι ποιοῦνται], οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτω-

χεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 6 (Sophocle : Nauck, p. 210 & Radt, *Tr. G. F.*, IV, p. 328).

Λακεδαίμων (ἡ), Lacédémone : τοῦτο δὲ πέπονθε τὰ περὶ Ἰκάριον. Οἴονται γὰρ αὐτὸν Λάκωνα εἶναι · ἄτοπον οὖν τὸ μὴ ἐντυχεῖν τὸν Τηλέμαχον αὐτῷ εἰς **Λακεδαίμονα** ἐλθόντα 61 b 6.

Λάκων (ὁ), Lacédémonien ou Laconien : οἴονται γὰρ αὐτὸν **Λάκωνα** εἶναι 61 b 4 (voir le précédent).

λαμβάνειν, prendre, saisir, admettre : ἐκεῖ μὲν γὰρ [sc. ἐν τῇ ἐποποιΐᾳ] διὰ τὸ μῆκος **λαμβάνει** τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει 56 a 14 ; μόνον γὰρ τοῦτο οὔτε παρ' ἄλλου ἔστι **λαβεῖν** εὐφυΐας τε σημεῖόν ἐστιν 59 a 7 ; ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν συμπιπτόντων, **λάβωμεν** 53 b 15 ; οἷον ἐν τῷ Ὀρέστῃ ἡ μανία δι' ἧς **ἐλήφθη**, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως 55 b 14 ; ἐλθὼν δὲ καὶ **ληφθεὶς** θύεσθαι μέλλων ἀνεγνώρισεν 55 b 9.

λαμπρός, ά, όν, brillant : ἀποκρύπτει γὰρ πάλιν ἡ λίαν **λαμπρὰ** λέξις τά τε ἤθη καὶ τὰς διανοίας 60 b 4.

λανθάνειν, passer inaperçu, échapper à l'attention (du spectateur) : ... ἐπὶ σκηνῆς ὄντα γελοῖα ἂν φανείη... ἐν δὲ τοῖς ἔπεσι **λανθάνει** 60 a 17 ; ὁ γὰρ Ἀμφιάραος ἐξ ἱεροῦ ἀνῄει, ὃ μὴ ὁρῶντα [τὸν θεατὴν] **ἐλάνθανεν** 55 a 29 ; ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς **ἔλαθεν** 49 b 1 ; αἱ μὲν οὖν τῆς τραγῳδίας μεταβάσεις, καὶ δι' ὧν ἐγένοντο, οὐ **λελήθασιν** 49 a 37 ; εὑρίσκοι τὸ πρέπον, καὶ ἥκιστ' ἂν **λανθάνοιτο** τὰ ὑπεναντία 55 a 26.

λέγειν, dire, parler, prononcer un discours, exposer, expliquer, vouloir dire : ἡ διάνοια · τοῦτο δ' ἐστὶ τὸ λέγειν δύνασθαι τὰ ἐνόντα καὶ τὰ ἁρμόττοντα 50 b 5 ; οὐ τὸ τὰ γενόμενα λέγειν, τοῦτο ποιητοῦ ἔργον ἐστίν, ἀλλ' οἷα ἂν γένοιτο 51 a 37 ; ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν · ... ἀλλὰ τούτῳ διαφέρει, τῷ τὸν μὲν τὰ γενόμενα λέγειν, τὸν δὲ οἷα ἂν γένοιτο 51 b 1 & 4 ; ἔστι δὲ καθόλου μέν, τῷ ποίῳ τὰ ποῖ' ἄττα συμβαίνει λέγειν ἢ πράττειν κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον 51 b 9 ; ὥστε τὸν τοιοῦτον τὰ τοιαῦτα λέγειν ἢ πράττειν ἢ ἀναγκαῖον ἢ εἰκός 54 a 35 ; δίκαιον δὲ καὶ τραγῳδίαν ἄλλην καὶ τὴν αὐτὴν λέγειν οὐδὲν ἴσως τῷ μύθῳ 56 a 8 ; αὐτὸν γὰρ δεῖ τὸν ποιητὴν ἐλάχιστα λέγειν · οὐ γάρ ἐστι κατὰ ταῦτα μιμητής 60 a 7 ; δεδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ 60 a 19 ; ὥστε τὸ λέγειν ὅτι ἀνῄρητο ἂν ὁ μῦθος γελοῖον 60 a 33 ; ἴσως γὰρ οὔτε βέλτιον λέγειν οὔτ' ἀληθῆ 60 b 36 ; **λέγω** δὲ οἷον ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ 47 b 25 ; ταύτας μὲν οὖν λέγω τὰς διαφορὰς τῶν τεχνῶν 47 b 28 ; λέγω δὲ ἡδυσμένον μὲν λόγον τὸν ἔχοντα ῥυθμὸν καὶ ἁρμονίαν καὶ μέλος 49 b 28 ; λέγω δὲ λέξιν μὲν αὐτὴν τὴν τῶν μέτρων σύνθεσιν 49 b 34 ; λέγω γὰρ μῦθον τοῦτον τὴν σύνθεσιν τῶν πραγμάτων 50 a 4 ; λέγω δέ, ... λέξιν εἶναι τὴν διὰ τῆς ὀνομασίας ἑρμηνείαν 50 b 14 ; λέγω δ' ἐπεισοδιώδη μῦθον ἐν ᾧ τὰ ἐπεισόδια μετ' ἄλληλα οὔτ' εἰκὸς οὔτ' ἀνάγκη εἶναι 51 b 34 ; λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν ἧς γινομένης... συνεχοῦς καὶ μιᾶς, ἄνευ περιπετείας ἢ ἀναγνωρίσμου ἡ μετάβασις γίνεται 52 a 14 ; λέγω δὲ οἷον τὴν Κλυταιμήστραν ἀποθανοῦσαν ὑπὸ τοῦ Ὀρέστου 53 b 23 ; λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 5 ; λέγω δὲ οὕτως ἂν θεωρεῖσθαι τὸ καθόλου, οἷον τῆς Ἰφιγενείας 55 b 2 ; λέγω δὲ δέσιν μὲν εἶναι..., λύσιν δὲ... 55 b 26 ; ἐποποιϊκὸν δὲ λέγω τὸ πολύμυθον 56 a 12 ; καὶ γὰρ τῶν θηρίων εἰσὶν ἀδιαίρετοι φωναί, ὧν οὐδεμίαν λέγω στοιχεῖον 56 b 24 ; ἁπλοῦν δὲ λέγω ὃ μὴ ἐκ σημαινόντων σύγκειται, οἷον γῆ 57 a 31 ; λέγω δὲ κύριον μὲν ᾧ χρῶνται ἕκαστοι, γλῶτταν δὲ ᾧ ἕτεροι 57 b 3 ; λέγω δὲ ἀπὸ γένους μὲν ἐπὶ εἶδος,

... ἀπ' εἴδους δὲ ἐπὶ γένος... 57 b 9; τὸ δὲ ἀνάλογον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον 57 b 16; λέγω δὲ οἷον ὁμοίως ἔχει φιάλη πρὸς Διόνυσον καὶ ἀσπὶς πρὸς Ἄρην 57 b 20; ξενικὸν δὲ λέγω γλῶτταν καὶ μεταφορὰν καὶ ἐπέκτασιν καὶ πᾶν τὸ παρὰ τὸ κύριον 58 a 22; λέγω δὲ οἷον εἴ τις τὸν Οἰδίπουν θείη τὸν Σοφοκλέους ἐν ἔπεσιν ὅσοις ἡ Ἰλιάς 62 b 2; λέγω δὲ οἷον ἐὰν ἐκ πλειόνων πράξεων ᾖ συγκειμένη 62 b 7; ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον **λέγει** 51 b 7; ἐκεῖνος δὲ αὐτὸς λέγει ἃ βούλεται ὁ ποιητής 54 b 33; ὥσπερ Ἀγάθων λέγει· εἰκὸς γὰρ γίνεσθαι πολλὰ καὶ παρὰ τὸ εἰκός 56 a 24; καὶ ἐνίοτε προστιθέασιν ἀνθ' οὗ λέγει πρὸς ὅ ἐστιν 57 b 19; ἴσως γὰρ οὐ τοὺς ἡμιόνους λέγει, ἀλλὰ τοὺς φύλακας 61 a 11; ὡς Γλαύκων λέγει, ὅτι ἔνιοι ἀλόγως προϋπολαβάνουσί τι 61 b 1; ὥστε καὶ λυτέον ἢ πρὸς ἃ αὐτὸς λέγει ἢ ὃ ἂν φρόνιμος ὑποθῆται 61 b 18; πλεῖστα γὰρ ἰαμβεῖα **λέγομεν** ἐν τῇ διαλέκτῳ τῇ πρὸς ἀλλήλους 49 a 26; ἀλλὰ περὶ μίαν πρᾶξιν, οἵαν λέγομεν 51 a 28; καὶ τοῦτο δέ, ὥσπερ λέγομεν, κατὰ τὸ εἰκὸς ἢ ἀναγκαῖον 52 a 24; τὸ δὲ καλῶς τί λέγομεν, εἴπωμεν σαφέστερον 53 b 26; παρ' αὐτῶν γὰρ γῆμαι **λέγουσι** [sc. οἱ Κεφαλῆνες] τὸν Ὀδυσσέα 61 b 7; περὶ ποιητικῆς αὐτῆς τε καὶ τῶν εἰδῶν αὐτῆς, κ. τ. α. ... **λέγωμεν** 47 a 12; περὶ δὲ τραγῳδίας λέγωμεν 49 b 22; λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων 50 b 22; εἴ τις **λέγοι** τὰ κύρια μετατιθείς 58 b 26; διόπερ οὐκ ἔχουσιν ἦθος τῶν λόγων ἐν οἷς μηδ' ὅλως ἔστιν ὅ τι προαιρεῖται ἢ φεύγει ὁ **λέγων** 50 b 11; τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ **λέγοντος** παρασκευάζεσθαι καὶ παρὰ τὸν λόγον γίγνεσθαι. Τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ φανοῖτο ἡ διάνοια καὶ μὴ διὰ τὸν λόγον; 56 b 6 & 7; αἰνίγματος γὰρ ἰδέα αὕτη ἐστί, τὸ **λέγοντα** ὑπάρχοντα ἀδύνατα συνάψαι 58 a 27; ἀλλὰ καὶ εἰς τὸν πράττοντα ἢ λέγοντα, πρὸς ὃν ἢ ὅτε ἢ ὅτῳ ἢ οὗ ἕνεκεν 61 a 7; λέγω γὰρ μῦθον..., διάνοιαν δέ, ἐν ὅσοις **λέγοντες** ἀποδεικνύασί τι ἢ καὶ ἀποφαίνονται γνώμην 50 a 6; οἱ μὲν γὰρ ἀρχαῖοι πολιτικῶς ἐποίουν **λέγοντας**, οἱ δὲ νῦν [sc. ποιηταὶ] ῥητορικῶς 50 b 7; ἐπεισοδίων πλήθη καὶ τὰ ἄλλα ὡς ἕκαστα κοσμηθῆναι **λέγεται**, ἔστω ἡμῖν εἰρημένα 49 a 29; δευτέρα δὲ [sc. τραγῳδία] ἡ πρώτη **λεγομένη** ὑπὸ τινῶν ἐστιν ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα 53 a 31; ἤδη δὲ σχήματά τινα αὐτῆς [sc. τῆς τραγῳδίας] ἐχούσης οἱ **λεγόμενοι** αὐτῆς ποιηταὶ μνημονεύονται 49 b 3; τέταρτον δὲ τῶν **λεγομένων** ἡ λέξις 50 b 13 *var.*; ἐνίοις δ' οὐκ ἔστιν ὄνομα κείμενον τῶν ἀνάλογον, ἀλλ' οὐδὲν ἧττον ὁμοίως **λεχθήσεται** 57 b 26; ὥσπερ **ἐλέχθη** 54 a 18; [τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη 55 b 34]; δῆλον δὲ ὅτι καὶ τῶν **λεχθεισῶν** ἑκάστη μιμήσεων ἕξει ταύτας τὰς διαφοράς 48 a 7; ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν **λεχθέντας**, ἀλλὰ τῇ κατὰ κώμας πλάνῃ ἀτιμαζομένους ἐκ τοῦ ἄστεως 48 a 37. — Voir εἰπεῖν, ἐρεῖν, φάναι.

λεκτέον, il faut dire : ... καὶ πόθεν ἔσται τὸ τῆς τραγῳδίας ἔργον, ἐφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις 52 b 30.

λεκτικός, ή, όν, qui convient au dialogue, à la conversation : μάλιστα γὰρ **λεκτικὸν** τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστιν 49 a 24; πλεῖστα γὰρ ἰαμβεῖα λέγομεν ἐν τῇ διαλέκτῳ τῇ πρὸς ἀλλήλους, ἑξάμετρα δὲ ὀλιγάκις καὶ ἐκβαίνοντες τῆς **λεκτικῆς** ἁρμονίας 49 a 27.

λέξις (ἡ), langage, style, expression, élocution, manière de s'exprimer : καὶ ⟨ἡ λέξις ἐκ⟩ λέξεως γελοίας 49 a 19* *var.* (voir *infra*); ἐξ ἀνάγκης ἂν εἴη τι μόριον τραγῳδίας ὁ τῆς ὄψεως κόσμος, εἶτα μελοποιΐα καὶ λέξις 49 b 33; ταῦτα δ' ἐστὶ μῦθος καὶ ἤθη καὶ λέξις καὶ διάνοια καὶ ὄψις καὶ μελοποιΐα [sc. τραγῳδίας μέρη ἕξ] 50 a 9; τέταρτον δὲ τῶν ἐν λόγῳ ἡ λέξις 50 b 14; πεπλεγμένη δὲ λέξις 52 a 17 *var.*; χορικοῦ δὲ πάροδος μὲν ἡ πρώτη λέξις

ὅλη χοροῦ 52 b 23 ; ἀποκρύπτει γὰρ πάλιν ἡ λίαν λαμπρὰ λέξις τά τε ἤθη καὶ τὰς διανοίας 60 b 5 ; ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ **λέξεως** γελοίας, διὰ τὸ ἐκ σατυρικοῦ μεταβαλεῖν, ὀψὲ ἀπεσεμνύνθη [sc. ἡ τραγῳδία] 49 a 19 ; λέξεως δὲ γενομένης αὐτὴ ἡ φύσις τὸ οἰκεῖον μέτρον εὗρεν 49 a 23 ; λοιπὸν δὲ περὶ λέξεως καὶ διανοίας εἰπεῖν 56 a 34 ; τῶν δὲ περὶ τὴν λέξιν ἓν μέν ἐστιν εἶδος θεωρίας τὰ σχήματα τῆς λέξεως... οἷον τί ἐντολὴ καὶ τί εὐχή, καὶ διήγησις καὶ ἀπειλὴ καὶ ἐρώτησις καὶ ἀπόκρισις, καὶ εἴ τι ἄλλο τοιοῦτον 56 b 8 & 9 ; τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 20 ; λέξεως δὲ ἀρετὴ σαφῆ καὶ μὴ ταπεινὴν εἶναι 58 a 18 ; οὐκ ἐλάχιστον δὲ μέρος συμβάλλονται εἰς τὸ σαφὲς τῆς λέξεως καὶ μὴ ἰδιωτικὸν αἱ ἐπεκτάσεις καὶ ἀποκοπαὶ καὶ ἐξαλλαγαὶ τῶν ὀνομάτων 58 b 1 ; ταῦτα δ' ἐξαγγέλλεται λέξει ἐν ᾗ καὶ γλῶττα καὶ μεταφορὰ καὶ πολλὰ πάθη τῆς λέξεώς ἐστιν · δίδομεν γὰρ ταῦτα τοῖς ποιηταῖς 60 b 11 & 12 ; τὰ δὲ κατὰ τὸ ἔθος τῆς λέξεως 61 a 27 ; ἔτι ἐάν τις ἐφεξῆς θῇ ῥήσεις ἠθικὰς καὶ **λέξει** καὶ διανοίᾳ εὖ πεποιημένας 50 a 29 ; οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι 50 a 36 ; δεῖ δὲ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον 55 a 23 ; οἷον Εὐκλείδης ὁ ἀρχαῖος... ἰαμβοποιήσας ἐν αὐτῇ τῇ λέξει 58 b 9 ; διὰ γὰρ τὸ μὴ εἶναι ἐν τοῖς κυρίοις ποιεῖ τὸ μὴ ἰδιωτικὸν ἐν τῇ λέξει ἅπαντα τὰ τοιαῦτα 59 a 3 ; πρὸς γὰρ τούτοις λέξει καὶ διανοίᾳ πάντας ὑπερβέβληκεν [sc. ὁ Ὅμηρος] 59 b 16 ; τῇ δὲ λέξει δεῖ διαπονεῖν ἐν τοῖς ἀργοῖς μέρεσι καὶ μήτε ἠθικοῖς μήτε διανοητικοῖς 60 b 3 ; ταῦτα δ' ἐξαγγέλλεται λέξει ἐν ᾗ... 60 b 11 (*supra*) ; κυρίᾳ λέξει ἢ καὶ γλώτταις καὶ μεταφοραῖς 60 b 11 *var.* ; λέγω δὲ **λέξιν** μὲν αὐτὴν τὴν τῶν μέτρων σύνθεσιν, μελοποιΐαν δὲ ὃ τὴν δύναμιν φανερὰν ἔχει πᾶσαν 49 b 34 ; καὶ γὰρ ὄψεις ἔχει πᾶν καὶ ἦθος καὶ μῦθον καὶ λέξιν καὶ μέλος καὶ διάνοιαν ὡσαύτως 50 a 14 ; λέγω δέ, ὥσπερ πρότερον εἴρηται, λέξιν εἶναι τὴν διὰ τῆς ὀνομασίας ἑρμηνείαν, ὃ καὶ ἐπὶ τῶν ἐμμέτρων καὶ ἐπὶ τῶν λόγων ἔχει τὴν αὐτὴν δύναμιν 50 b 14 ; τῶν δὲ περὶ τὴν λέξιν... τὰ σχήματα τῆς λέξεως 56 b 8 & 9 (*supra*) ; ἐν δὲ τοῖς ἰαμβείοις, διὰ τὸ ὅτι μάλιστα λέξιν μιμεῖσθαι, ταῦτα ἁρμόττει τῶν ὀνομάτων ὅσοις κἂν ἐν λόγοις τις χρήσαιτο 59 a 12 ; ἔτι τὰς διανοίας καὶ τὴν λέξιν ἔχειν καλῶς [sc. ἐν τῇ ἐποποιΐᾳ] 59 b 12 ; τὰ δὲ πρὸς τὴν λέξιν ὁρῶντα δεῖ διαλύειν, οἷον γλώττῃ... 61 a 10.

λευκογραφεῖν, dessiner au trait, tracer les contours d'une image : εἰ γάρ τις ἐναλείψειε τοῖς καλλίστοις φαρμάκοις χύδην, οὐκ ἂν ὁμοίως εὐφράνειεν καὶ **λευκογραφήσας** εἰκόνα 50 b 2.

λευκός, ή, όν, blanc : τὸ μὲν γὰρ « ἄνθρωπος » ἢ « **λευκὸν** » οὐ σημαίνει τὸ πότε 57 a 16.

λῆψις (ἡ), prise, enlèvement : ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου δέσις μὲν τά τε προπεπραγμένα καὶ ἡ τοῦ παιδίου λῆψις καὶ πάλιν ἡ αὐτῶν δή... 55 b 31.

λίαν, trop, à l'excès, tout à fait : λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι ὁ μῦθος 59 a 32 ; ἀποκρύπτει γὰρ πάλιν ἡ λίαν λαμπρὰ λέξις τά τε ἤθη καὶ τὰς διανοίας 60 b 4 ; λίαν δῆλον ὅτι ἡ ἅπαντα μιμουμένη [sc. μίμησις] φορτική 61 b 28 ; ὡς λίαν γὰρ ὑπερβάλλοντα, πίθηκον ὁ Μυννίσκος τὸν Καλλιππίδην ἐκάλει 61 b 34.

λόγος (ὁ), récit, discours, énoncé, exposé, argument, raison, etc. : τὸ μὲν οὖν ἐπισκοπεῖν ἆρ' ἔχει ἤδη ἡ τραγῳδία τοῖς εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε καθ' αὐτὸ κρῖναι καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος 49 a 9 ; ἕξει δὲ ἦθος μὲν ἐὰν ὥσπερ ἐλέχθη ποιῇ φανερὸν ὁ λόγος ἢ ἡ πρᾶξις προαίρεσίν τινα 54 a 18 ; τῆς γὰρ Ὀδυσσείας ⟨οὐ⟩ μακρὸς ὁ λόγος ἐστίν 55 b 17 ; τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα,

ῥῆμα, πτῶσις, λόγος 56 b 21 ; λόγος δὲ φωνὴ συνθετὴ σημαντική, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι · οὐ γὰρ ἅπας λόγος ἐκ ῥημάτων καὶ ὀνομάτων σύγκειται 57 a 23 & 25 ; εἷς δ' ἐστὶ λόγος διχῶς · ἢ γὰρ ὁ ἓν σημαίνων, ἢ ὁ ἐκ πλειόνων συνδέσμῳ 57 a 28 ; μόνου μέτρου μετὰ **λόγου** [sc. μίμησις] 49 b 10 *var.* ; ἔστι δὲ κατὰ τὴν διάνοιαν ταῦτα, ὅσα ὑπὸ τοῦ λόγου δεῖ παρασκευασθῆναι 56 a 37 ; σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ... ἣν μὴ ἁρμόττει ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν 57 a 3 ; ἄρθρον δ' ἐστὶ φωνὴ ἄσημος ἢ λόγου ἀρχὴν ἢ τέλος ἢ διορισμὸν δηλοῖ 57 a 6 ; ἅπασαι μὲν [sc. τέχναι] ποιοῦνται τὴν μίμησιν ἐν ῥυθμῷ καὶ **λόγῳ** καὶ ἁρμονίᾳ, τούτοις δ' ἢ χωρὶς ἢ μεμιγμένοις 47 a 22 ; ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ χωρὶς ἑκάστῳ τῶν εἰδῶν ἐν τοῖς μορίοις 49 b 25 ; τέταρτον δὲ τῶν ἐν λόγῳ ἡ λέξις 50 b 13 ; τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ λέγοντος παρασκευάζεσθαι 56 b 6 ; καὶ τὰ τοῦ χοροῦ ἠλάττωσε [sc. ὁ Αἰσχύλος], καὶ τὸν **λόγον** πρωταγωνιστὴν παρεσκεύασεν 49 a 17 ; λέγω δὲ ἡδυσμένον μὲν λόγον τὸν ἔχοντα ῥυθμὸν καὶ ἁρμονίαν καὶ μέλος 49 b 28 ; τὰ μὲν δεῖ φαίνεσθαι ἄνευ διδασκαλίας, τὰ δὲ ἐν τῷ λόγῳ ὑπὸ τοῦ λέγοντος παρασκευάζεσθαι καὶ παρὰ τὸν λόγον γίγνεσθαι. Τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ φανοῖτο ἡ διάνοια καὶ μὴ διὰ τὸν λόγον ; 56 b 6, 7 & 8 ; ἀλλ' ἐνδέχεται ἄνευ ῥημάτων εἶναι λόγον · μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει 57 a 27 ; ὅπερ ἐπὶ τῶν **λόγων** τῆς πολιτικῆς καὶ ῥητορικῆς ἔργον ἐστίν 50 b 6 ; διόπερ οὐκ ἔχουσιν ἦθος τῶν λόγων ἐν οἷς μηδ' ὅλως ἔστιν ὅ τι προαιρεῖται ἢ φεύγει ὁ λέγων 50 b 10 ; τέταρτον δὲ τῶν μὲν λόγων ἡ λέξις 50 b 13 *var.* ; λέξιν εἶναι τὴν διὰ τῆς ὀνομασίας ἑρμηνείαν, ὃ καὶ ἐπὶ τῶν ἐμμέτρων καὶ ἐπὶ τῶν λόγων ἔχει τὴν αὐτὴν δύναμιν 50 b 16 ; ἡ δὲ [sc. μίμησις] μόνον τοῖς **λόγοις** ψιλοῖς ἢ τοῖς μέτροις 47 a 29 ; εἴρηται δὲ περὶ αὐτῶν ἐν τοῖς ἐκδεδομένοις λόγοις ἱκανῶς 54 b 18 ; ἐν δὲ τοῖς ἰαμβείοις, ... ταῦτα ἁρμόττει τῶν ὀνομάτων ὅσοις κἂν ἐν λόγοις τις χρήσαιτο 59 a 13 ; τὰ δ' ὑπεναντίως εἰρημένα οὕτω σκοπεῖν, ὥσπερ οἱ ἐν τοῖς λόγοις ἔλεγχοι 61 b 17 ; οὐδὲν γὰρ ἂν ἔχοιμεν ὀνομάσαι κοινὸν τοὺς Σώφρονος καὶ Ξενάρχου μίμους καὶ τοὺς Σωκρατικοὺς **λόγους** 47 b 11 ; καὶ γὰρ ἐν ὀρχήσει καὶ αὐλήσει καὶ κιθαρίσει ἔστι γενέσθαι ταύτας τὰς ἀνομοιότητας, καὶ περὶ τοὺς λόγους δὲ καὶ τὴν ψιλομετρίαν 48 a 11 ; τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ λόγους ἢ πλήθη ὑποκριτῶν... ἠγνόηται 49 b 4 *var.* (voir πρόλογος) ; τῶν δὲ 'Αθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους 49 b 8 ; τούς τε λόγους καὶ τοὺς πεποιημένους δεῖ καὶ αὐτὸν ποιοῦντα ἐκτίθεσθαι καθόλου, εἶθ' οὕτως ἐπεισοδιοῦν καὶ παρατείνειν 55 a 35 ; τούς τε λόγους μὴ συνίστασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον 60 a 27.

λόγχη (ἡ), lance : οἷον « **λόγχην** ἣν φοροῦσι Γηγενεῖς » 54 b 22 (*fragm. trag. adespot.* : Nauck, *fr.* 84, p. 855).

λοιπός, **ή**, **όν**, qui est de reste : ὁ μεταξὺ ἄρα τούτων λοιπός 53 a 7 ; τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις, τὸ δὲ **λοιπὸν** ἡ λύσις 55 b 26 ; λοιπὸν δὲ περὶ λέξεως καὶ διανοίας εἰπεῖν 56 a 33 ; τῶν δὲ **λοιπῶν** ἡ μελοποιΐα μέγιστον τῶν ἡδυσμάτων 50 b 16 ; τοῖς δε **λοιποῖς** τὰ ᾀδόμενα οὐδὲν μᾶλλον τοῦ μύθου ἢ ἄλλης τραγῳδίας ἐστίν 56 a 28 *var.*

Λυγκεύς (ὁ), Lyncée, héros & titre d'une tragédie de Théodecte : καὶ ἐν τῷ **Λυγκεῖ** ὁ μὲν ἀγόμενος ὡς ἀποθανούμενος, ὁ δὲ Δαναὸς ἀκολουθῶν ὡς ἀποκτενῶν · τὸν μὲν συνέβη ἐν τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι 52 a 27 ; ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου δέσις μὲν τά τε προπεπραγμένα καὶ ἡ τοῦ παιδίου λῆψις καὶ πάλιν ἡ αὐτῶν δή... ⟨λύσις δ' ἡ⟩ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους 55 b 29. — Voir Nauck, p. 802 & Snell, I, p. 232.

λύειν, délier, réfuter, résoudre, défaire : τοὺς μὲν οὖν παρειλημμένους μύθους λύειν οὐκ ἔστιν 53 b 22 ; μέρη δὲ τούτων τό τε ἀποδεικνύναι καὶ τὸ λύειν καὶ τὸ πάθη παρασκευάζειν 56 a 38 ; ὥστε δεῖ τὰ ἐπιτιμήματα ἐν τοῖς προβλήμασιν ἐκ τούτων ἐπισκοποῦντα λύειν 60 b 23 ; πολλοὶ δὲ πλέξαντες εὖ **λύουσι** κακῶς · δεῖ δὲ ἄμφω ἀεὶ κρατεῖσθαι 56 a 10 ; κατὰ δὲ προσῳδίαν, ὥσπερ Ἱππίας **ἔλυεν** ὁ Θάσιος τὸ « δίδομεν δέ οἱ εὖχος ἀρέσθαι » καὶ « τὸ μὲν οὗ καταπύθεται ὄμβρῳ » 61 a 22 (cf. Homère, *Iliade*, XXI, 297 & XXIII, 328).

λυπηρῶς, avec du chagrin : ἃ γὰρ αὐτὰ λυπηρῶς ὁρῶμεν, τούτων τὰς εἰκόνας τὰς μάλιστα ἠκριβωμένας χαίρομεν θεωροῦντες 48 b 10.

λύσις (ἡ), dénouement (d'une tragédie), solution : ἔστι δὲ πάσης πραγῳδίας τὸ μὲν δέσις, τὸ δὲ λύσις · τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις, τὸ δὲ λοιπὸν ἡ λύσις 55 b 24 & 26 ; ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου... ⟨λύσις δ' ἡ⟩ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους 55 b 31 ; τοῦτο δέ, ὧν ἡ αὐτὴ πλοκὴ καὶ λύσις 56 a 9 ; λέγω... **λύσιν** δὲ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς μεταβάσεως μέχρι τέλους 55 b 28 ; αἱ δὲ **λύσεις** ἐκ τῶν εἰρημένων ἀριθμῶν σκεπτέαι, εἰσὶν δὲ δώδεκα 61 b 24 ; περὶ δὲ προβλημάτων καὶ **λύσεων**, ἐκ πόσων τε καὶ ποίων εἰδῶν ἐστιν, ὧδ' ἂν θεωροῦσι γένοιτ' ἂν φανερόν 60 b 6 ; καὶ περὶ ἐπιτιμήσεων καὶ λύσεων, εἰρήσθω τοσαῦτα 62 b 17 ; φανερὸν οὖν ὅτι καὶ τὰς **λύσεις** τῶν μύθων ἐξ αὐτοῦ δεῖ τοῦ μύθου συμβαίνειν 54 a 37.

λυτέον, il faut résoudre *ou* conclure : ἐὰν ἐπιτιμᾶται ὅτι οὐκ ἀληθῆ, ἀλλ' ἴσως ⟨ὡς⟩ δεῖ, οἷον καὶ Σοφοκλῆς ἔφη αὐτὸς μὲν οἵους δεῖ ποιεῖν, Εὐριπίδην δὲ οἷοι εἰσίν, ταύτῃ λύτεον 60 b 35 ; τὰ δ' ὑπεναντίως εἰρημένα οὕτω σκοπεῖν... εἰ τὸ αὐτὸ καὶ πρὸς τὸ αὐτὸ καὶ ὡσαύτως, ὥστε καὶ λυτέον ἢ πρὸς ἃ αὐτὸς λέγει ἢ ὃ ἂν φρόνιμος ὑποθῆται 61 b 18.

* * *

Μάγνης (ὁ), Magnès : καὶ οἱ ἐκ Σικελίας, ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής, πολλῷ πρότερος ὢν Χιωνίδου καὶ **Μάγνητος** [sc. ἀντιποιοῦνται τῆς κωμῳδίας] 48 a 34.

μαζός (ὁ), sein : οἷον τὸ « δεξιτερὸν κατὰ **μαζόν** » ἀντὶ τοῦ δεξιόν 58 a 8 (Homère, *Iliade*, V, 393).

μάθημα (τὸ), étude, connaissance : τραγῳδία... δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων **μαθημάτων** κάθαρσιν 49 b 28 *var.* : voir πάθημα.

μάθησις (ἡ), connaissance : καὶ τούτῳ διαφέρουσι [sc. οἱ ἄνθρωποι] τῶν ἄλλων ζῴων ὅτι μιμητικώτατόν ἐστι καὶ τὰς **μαθήσεις** ποιεῖται διὰ μιμήσεως τὰς πρώτας 48 b 7.

μαίνεσθαι, être atteint de folie : Ὀδύσσειαν γὰρ ποιῶν [sc. ὁ Ὅμηρος] οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ [sc. τῷ Ὀδυσσεῖ] συνέβη, οἷον πληγῆναι μὲν ἐν τῷ Παρνασσῷ, **μανῆναι** δὲ προσποιήσασθαι ἐν τῷ ἀγερμῷ 51 a 26.

μακρός, ά, όν, long : τῆς γὰρ Ὀδυσσείας ⟨οὐ⟩ μακρὸς ὁ λόγος ἐστίν 55 b 17 ; διὸ οὐδεὶς **μακρὰν** σύστασιν ἐν ἄλλῳ [sc. μέτρῳ] πεποίηκεν ἢ τῷ ἡρῴῳ 60 a 2 ; θήλεα δὲ [sc. ὀνόματα] ὅσα ἐκ τῶν φωνηέντων εἴς τε τὰ ἀεὶ **μακρά** [sc. τελευτᾷ], οἷον εἰς Η καὶ Ω 58 a 12 ; ἐπεκτεταμένον [sc. ὄνομα] δ' ἐστὶν ἢ ἀφῃρημένον, τὸ μὲν ἐὰν φωνήεντι **μακροτέρῳ** κεχρημένον ᾖ τοῦ οἰκείου ἢ συλλαβῇ ἐμβεβλημένῃ 58 a 2.

μάλιστα, le plus, surtout, au maximum, au plus haut point : τὰς εἰκόνας τὰς μάλιστα ἠκριβωμένας 48 b 11 ; οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα 48 b 22 ;

τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν 48 b 34 ; μάλιστα γὰρ λεκτικὸν τῶν μέτρων τὸ ἰαμβεῖόν ἐστιν 49 a 24 ; ὅτι μάλιστα πειρᾶται ὑπὸ μίαν περίοδον ἡλίου εἶναι 49 b 12 ; ἔστι τε μίμησις πράξεως, καὶ διὰ ταύτην μάλιστα τῶν πραττόντων 50 b 4 ; ταῦτα δὲ γίνεται καὶ μάλιστα ὅταν γένηται παρὰ τὴν δόξαν 52 a 3 ; ἀλλ' ἡ μάλιστα τοῦ μύθου καὶ ἡ μάλιστα τῆς πράξεως ἡ εἰρημένη [sc. ἀναγνώρισις] ἐστίν 52 a 36 & 37 ; ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ ⟨μάλιστ' ἐὰν καὶ⟩ περιπέτεια ᾖ 52 a 38 *var.* ; συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον 55 a 24 ; μάλιστα μὲν οὖν ἅπαντα δεῖ πειρᾶσθαι ἔχειν 56 a 3 ; τῶν δ' ὀνομάτων τὰ μὲν διπλᾶ μάλιστα ἁρμόττει τοῖς διθυράμβοις 59 a 9 ; ἐν δὲ τοῖς ἰαμβείοις, διὰ τὸ ὅτι μάλιστα λέξιν μιμεῖσθαι 59 a 12 ; διὸ καὶ γλώττας καὶ μεταφορὰς δέχεται μάλιστα 59 b 36 ; δι' ὃ συμβαίνει μάλιστα τὸ θαυμαστόν 60 a 13 ; δεδίδαχε δὲ μάλιστα Ὅμηρος καὶ τοὺς ἄλλους ψευδῆ λέγειν ὡς δεῖ 60 a 19 ; ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον 60 a 28 ; ὡδὶ δὲ μάλιστ' ἄν τις ὑπολάβοι 61 a 35 ; καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις 62 b 11. — Voir le suivant.

μᾶλλον, davantage, plus, plutôt : διὸ τὸν μὲν ποιητὴν δίκαιον καλεῖν, τὸν δὲ φυσιολόγον μᾶλλον ἢ ποιητήν 47 b 19 ; ἀλλὰ πολὺ μᾶλλον ἡ καταδεεστέροις τούτοις κεχρημένη τραγῳδία 50 a 31 ; ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει 51 b 7 ; τὸν ποιητὴν μᾶλλον τῶν μύθων εἶναι δεῖ ποιητὴν ἢ τῶν μέτρων 51 b 27 ; καὶ μάλιστα [καὶ μᾶλλον] 52 a 3 ; τὸ γὰρ θαυμαστὸν οὕτως ἕξει μᾶλλον ἢ εἰ ἀπὸ τοῦ αὐτομάτου 52 a 5 ; τὸν καλῶς ἔχοντα μῦθον ἁπλοῦν εἶναι μᾶλλον ἢ διπλοῦν 53 a 13 ; ἢ βελτίονος μᾶλλον ἢ χείρονος 53 a 16 ; ἔστι δὲ οὐχ αὕτη ⟨ἡ⟩ ἀπὸ τραγῳδίας ἡδονή, ἀλλὰ μᾶλλον τῆς κωμῳδίας οἰκεία 53 a 36 ; τοῖς δὲ πολλοῖς τὰ ᾀδόμενα οὐδὲν μᾶλλον τοῦ μύθου ἢ ἄλλης τραγῳδίας ἐστίν 56 a 28 ; τοῦτο γὰρ ἴδιον μᾶλλον ἐκείνης τῆς μεθόδου 56 a 35 ; μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιΐᾳ τὸ ἄλογον 60 a 12 ; προαιρεῖσθαί τε δεῖ ἀδύνατα εἰκότα μᾶλλον ἢ δυνατὰ ἀπίθανα 60 a 27 ; εἰ μέντοι τὸ τέλος ἢ μᾶλλον ἢ ⟨μὴ⟩ ἧττον ἐνεδέχετο ὑπάρχειν 60 b 27 ; φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον τοῦ τέλους τυγχάνουσα [sc. ἡ τραγῳδία] τῆς ἐποποιΐας 62 b 14. — Voir μάλιστα ; opp. ἥκιστα, ἧττον.

μανθάνειν, apprendre, comprendre : αἴτιον δὲ καὶ τοῦτο ὅτι μανθάνειν οὐ μόνον τοῖς φιλοσόφοις ἥδιστον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως 48 b 13 ; διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντες, ὅτι συμβαίνει θεωροῦντας μανθάνειν καὶ συλλογίζεσθαι τί ἕκαστον 48 b 16 ; « αἶψα δὲ θνήτ' ἐφύοντο, τὰ πρὶν **μάθον** ἀθάνατ' εἶναι, ζωρά τε πρὶν κέκρητο » 61 a 25 (Empédocle, *fr.* B 35, 15, D-K, I, p. 327-328).

μανία (ἡ), folie, délire : οἷον ἐν τῷ 'Ορέστῃ ἡ μανία δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως 55 b 14.

μανικός, ή, όν, atteint de délire divin, capable d'enthousiasme poétique : διὸ εὐφυοῦς ἡ ποιητική ἐστιν ἢ **μανικοῦ** 55 a 34.

Μαραθῶνάδε, en allant à Marathon : « 'Επιχάρην εἶδον Μαραθῶνάδε βαδίζοντα » 58 b 9 (vers « prosaïque » d'Euclide l'Ancien).

Μαργίτης (ὁ), le *Margitès* (ou le *Sot infatué de lui-même*), titre d'un poème satirique attribué à Homère jusqu'au IIIe s. avant J.-C. : ἀπὸ δὲ 'Ομήρου ἀρξαμένοις ἔστιν, οἷον ἐκείνου ὁ Μαργίτης καὶ τὰ τοιαῦτα, ἐν οἷς κατὰ τὸ ἁρμόττον καὶ τὸ ἰαμβεῖον ἦλθε μέτρον 48 b 30 ; ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ 'Ιλιὰς καὶ 'Οδύσσεια πρὸς τὰς τραγῳδίας, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας 48 b 38.

Μασσαλιῶται (οἱ), les Massaliotes, les habitants de Marseille : εἴη δ' ἂν

καὶ τριπλοῦν καὶ τετραπλοῦν ὄνομα καὶ πολλαπλοῦν οἷον πολλὰ τῶν **Μασσαλιωτῶν** · « Ἑρμοκαϊκόξανθος... » 57 a 36.

μάχη (ἡ), bataille : ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν Σαλαμῖνι ἐγένετο ναυμαχία καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη, οὐδὲν πρὸς τὸ αὐτὸ συντείνουσαι τέλος 59 a 26.

μεγαλεῖος, α, ον, qui a grand air, magnifique : οἷον πολλὰ [sc. ὀνόματα] τῶν **μεγαλείων** 57 a 36 *var.* : voir le suivant.

Μεγαλιῶται (οἱ), les Mégaliotes (peuple inconnu) : οἷον πολλὰ [sc. ὀνόματα] τῶν **Μεγαλιωτῶν** 57 a 36 *var.* : corrigé par Diels en Μασσαλιωτῶν (voir Μασσαλιῶται).

μεγαλοπρέπεια (ἡ), générosité, magnificence : ὥστε τοῦτ' ἔχει τὸ ἀγαθὸν εἰς **μεγαλοπρέπειαν** καὶ τὸ μεταβάλλειν τὸν ἀκούοντα 59 b 29.

Μεγαρεῖς (οἱ), les Mégariens, les habitants de Mégare : διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς · τῆς μὲν κωμῳδίας οἱ Μεγαρεῖς, οἵ τε ἐνταῦθα... καὶ οἱ ἐκ Σικελίας... 48 a 31.

μέγας, μεγάλη, μέγα, grand, fort, important, grave : λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι ὁ μῦθος 59 a 33 ; ἔστι δὲ **μέγα** μὲν τὸ ἑκάστῳ τῶν εἰρημένων πρεπόντως χρῆσθαι, καὶ διπλοῖς ὀνόμασι καὶ γλώτταις, πολὺ δὲ μέγιστον τὸ μεταφορικὸν εἶναι 59 a 4 & 6 ; ἡ μὲν οὖν ἐποποιΐα τῇ τραγῳδίᾳ μέχρι μὲν τοῦ μέτρου **μεγάλου**... ἠκολούθησεν 49 b 10 *var.* ; τῶν ἐν **μεγάλῃ** δόξῃ ὄντων καὶ εὐτυχίᾳ, οἷον Οἰδίπους καὶ Θυέστης 53 a 10 ; μὴ διὰ μοχθηρίαν, ἀλλὰ δι' ἁμαρτίαν **μεγάλην** 53 a 16 ; ὅταν ἢ ἐλεεινὰ ἢ δεινὰ ἢ **μεγάλα** ἢ εἰκότα δέῃ παρασκευάζειν 56 b 4 ; ἀεὶ μὲν ὁ **μείζων** μέχρι τοῦ σύνδηλος εἶναι καλλίων ἐστὶ κατὰ τὸ μέγεθος 51 a 10 ; οἷον ἢ **μείζονος** ἀγαθοῦ, ἵνα γένηται, ἢ μείζονος κακοῦ, ἵνα ἀπογένηται 61 a 8 & 9 ; διὰ τὸ **μείζονα** καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων 49 a 6 ; **μέγιστον** δὲ τούτων ἐστὶν ἡ τῶν πραγμάτων σύστασις 50 a 15 ; τὸ δὲ τέλος μέγιστον ἁπάντων 50 a 23 ; ἡ μελοποιΐα μέγιστον τῶν ἡδυσμάτων 50 b 17 ; ἐπειδὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον τῆς τραγῳδίας ἐστίν [sc. ἡ τῶν πραγμάτων σύστασις] 50 b 24 ; σημεῖον δὲ μέγιστον · ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων... 53 a 27 ; 59 a 6 (*supra*) ; τὰ **μέγιστα** οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστίν 50 a 33 ; μάλιστα μὲν οὖν ἅπαντα δεῖ πειρᾶσθαι ἔχειν, εἰ δὲ μή, τὰ μέγιστα καὶ πλεῖστα 56 a 4. — Opp. ἐλάττων, ἐλάχιστος, μικρός.

μέγεθος (τὸ), grandeur, ampleur, importance : ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ λέξεως γελοίας, διὰ τὸ ἐκ σατυρικοῦ μεταβαλεῖν, ὀψὲ ἀπεσεμνύνθη [sc. ἡ τραγῳδία] 49 a 19 ; ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ. κ. τ. α. 49 b 25 ; κεῖται δ' ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος · ἔστι γὰρ ὅλον καὶ μηδὲν ἔχον μέγεθος 50 b 26 & 27 ; οὐ μόνον ταῦτα τεταγμένα δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχόν · τὸ γὰρ καλὸν ἐν μεγέθει καὶ τάξει ἐστί, διὸ οὔτε πάμμικρον ἄν τι γένοιτο καλὸν ζῷον... οὔτε παμμέγεθες 50 b 37 & 38 ; ὥστε δεῖ... ἔχειν μὲν μέγεθος, τοῦτο δὲ εὐσύνοπτον εἶναι 51 a 4 ; ἀεὶ μὲν ὁ μείζων μέχρι τοῦ σύνδηλος εἶναι καλλίων ἐστὶ κατὰ τὸ μέγεθος, ὡς δὲ ἁπλῶς διορίσαντας εἰπεῖν, ἐν ὅσῳ μεγέθει κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον ἐφεξῆς γιγνομένων συμβαίνει εἰς εὐτυχίαν ἐκ δυστυχίας ἢ ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταβάλλειν, ἱκανὸς ὅρος ἐστὶ τοῦ μεγέθους 51 a 11, 12 & 15 ; ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει 56 a 14 ; μέρη δὲ τούτων τό τε ἀποδεικνύναι καὶ τὸ λύειν καὶ τὸ πάθη παρασκευάζειν, οἷον ἔλεον ἢ φόβον ἢ ὀργὴν καὶ ὅσα τοιαῦτα, καὶ

ἔτι μέγεθος καὶ μικρότητα 56 b 1 ; ἔχει δὲ πρὸς τὸ ἐπεκτείνεσθαι τὸ μέγεθος πολύ τι ἡ ἐποποιΐα ἴδιον 59 b 23 ; ὥσπερ ἡ 'Ιλιὰς ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ 'Οδύσσεια, ⟨ἃ⟩ καὶ καθ' ἑαυτὰ ἔχει μέγεθος 62 b 9 ; ἱκανὸς ὅρος ἐστὶ τοῦ **μεγέθους** 51 a 15 (*supra*) ; ἐν **μεγέθει** καὶ τάξει 50 b 38 (*supra*) ; ἐν ὅσῳ μεγέθει 51 a 12 (*supra*) ; λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι ὁ μῦθος ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον τῇ ποικιλίᾳ 59 a 34. — Voir μῆκος.

μέγιστος, η, ον, très grand : voir μέγας.

μέθοδος (ἡ), recherche (méthodique) : ὁμοίως δὲ καὶ περὶ τῶν ἄλλων ὅσα τῆς αὐτῆς ἐστι **μεθόδου**, λέγωμεν 47 a 12 ; τοῦτο γὰρ ἴδιον μᾶλλον ἐκείνης τῆς μεθόδου 56 a 36.

μείζων, ων, ον, plus grand : voir μέγας.

μείρεσθαι, être fixé par le destin : ἰδοῦσαι γὰρ τὸν τόπον συνελογίσαντο τὴν **εἱμαρμένην**, ὅτι ἐν τούτῳ **εἵμαρτο** ἀποθανεῖν αὐταῖς 55 a 11* : voir εἱμαρμένη.

Μελανίππη (ἡ), Mélanippe, héroïne & titre de deux tragédies d'Euripide : ἔστι δὲ παράδειγμα... τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ὅ τε θρῆνος 'Οδυσσέως ἐν τῇ Σκύλλῃ καὶ ἡ τῆς **Μελανίππης** ῥῆσις 54 a 31 (Nauck, *fr.* 484, p. 511-512).

Μελέαγρος (ὁ), Méléagre : νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται, οἷον περὶ 'Αλκμέωνα καὶ Οἰδίπουν καὶ 'Ορέστην καὶ **Μελέαγρον** καὶ Θυέστην καὶ Τήλεφον, καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ ἢ ποιῆσαι 53 a 20.

μέλι (τὸ), miel : εἰς δὲ τὸ Ι τρία μόνα [sc. ὀνόματα τελευτᾷ], μέλι, κόμμι, πέπερι 58 a 16.

μέλλειν, être sur le point de, être destiné à, devoir, devoir arriver : καὶ πῶς δεῖ συνίστασθαι τοὺς μύθους, εἰ **μέλλει** καλῶς ἕξειν ἡ ποίησις 47 a 10 ; οἷον εἰ ἀδελφὸς ἀδελφὸν ἢ υἱὸς πατέρα ἢ μήτηρ υἱὸν ἢ υἱὸς μητέρα ἀποκτείνει ἢ μέλλει ἤ τι ἄλλο τοιοῦτον δρᾷ 53 b 21 ; οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 6 ; ἂν μὲν οὖν ἐχθρὸς ἐχθρόν, οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν οὔτε **μέλλων**, πλὴν κατ' αὐτὸ τὸ πάθος 53 b 18 ; καὶ ἐν τῇ Ἕλλῃ ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων ἀνεγνώρισεν 54 a 8 ; ἐλθὼν δὲ καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν 55 b 9 ; ἔτι δὲ τρίτον παρὰ ταῦτα, τὸ **μέλλοντα** ποιεῖν τι τῶν ἀνηκέστων δι' ἄγνοιαν ἀναγνωρίσαι πρὶν ποιῆσαι 53 b 34 ; λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος **ἔμελλεν** ἔσεσθαι ὁ μῦθος 59 a 33 ; τούτων δὲ τὸ μὲν γινώσκοντα **μελλῆσαι** καὶ μὴ πρᾶξαι χείριστον 53 b 38.

μελοποιΐα (ἡ), mélodie, composition du chant, mélopée, composition musicale : πρῶτον μὲν ἐξ ἀνάγκης ἂν εἴη τι μόριον τραγῳδίας ὁ τῆς ὄψεως κόσμος, εἶτα μελοποιΐα καὶ λέξις 49 b 33 ; ταῦτα δ' ἐστὶ [sc. τραγῳδίας μέρη] μῦθος καὶ ἤθη καὶ λέξις καὶ διάνοια καὶ ὄψις καὶ μελοποιΐα 50 a 10 ; τῶν δὲ λοιπῶν ἡ μελοποιΐα μέγιστον τῶν ἡδυσμάτων 50 b 17 ; καὶ τὰ μέρη ἔξω **μελοποιΐας** καὶ ὄψεως ταὐτά 59 b 10 ; λέγω δὲ λέξιν μὲν..., **μελοποιΐαν** δὲ ὃ τὴν δύναμιν φανερὰν ἔχει πᾶσαν 49 b 35.

μέλος (τὸ), mélodie, chant : λέγω δὲ ἡδυσμένον μὲν λόγον τὸν ἔχοντα ῥυθμὸν καὶ ἁρμονίαν καὶ μέλος, τὸ δὲ χωρὶς τοῖς εἴδεσι τὸ διὰ μέτρων ἔνια μόνον περαίνεσθαι καὶ πάλιν ἕτερα διὰ μέλους 49 b 29 & 31 ; καὶ γὰρ ὄψεις ἔχει πᾶν καὶ ἦθος καὶ μῦθον καὶ λέξιν καὶ μέλος καὶ διάνοιαν ὡσαύτως 50 a 14 ; ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος, χορικοῦ δὲ πάροδος μὲν ἡ πρώτη λέξις ὅλη χοροῦ, στάσιμον δὲ μέλος χοροῦ τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου, κόμμος δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς

52 b 22 & 23; διὰ **μέλους** 49 b 31 (*supra*); εἰσὶ δέ τινες [sc. τέχναι] αἳ πᾶσι χρῶνται τοῖς εἰρημένοις, λέγω δὲ οἷον ῥυθμῷ καὶ **μέλει** καὶ μέτρῳ 47 b 25; ἔστι δὲ... ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας τὸ μεταξὺ ὅλων χορικῶν **μελῶν** 52 b 21.

μὲν, d'une part : 47 a 19, 21, 23; 47 b 18, etc. Particule citée en 57 a 4 comme exemple de σύνδεσμος (conjonction, particule, préposition, mot de liaison) : φωνὴ ἄσημος... ἣν μὴ ἁρμόττει ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν, οἷον μέν, δή, τοί, δέ 57 a 4.

μὲν οὖν, ainsi donc, assurément; bien plutôt, au contraire : 47 b 23 & 28; 48 b 2 & 28; 49 a 7, 29 *var.* & 36; 49 b 9 & 21; 50 a 12 & 38; 51 b 11 & 16; 52 a 33; 52 b 9; 53 a 22; 53 b 1, 17, 22 & 32; 54 a 13; 55 b 15 & 23; 56 a 3, 33 & 34; 56 b 22; 58 a 19, 25 & 27; 58 b 11; 59 a 15; 59 b 18; 60 a 8 & 11; 61 b 22 & 32; 62 a 2; 62 b 15. — Voir **οὖν**.

Μενέλαος (ὁ), Ménélas : ἔστι δὲ παράδειγμα πονηρίας μὲν ἤθους μὴ ἀναγκαίου οἷον ὁ Μενέλαος ὁ ἐν τῷ Ὀρέστῃ 54 a 29; ὅταν μὴ ἀνάγκης οὔσης μηδὲν χρήσηται τῷ ἀλόγῳ, ὥσπερ Εὐριπίδης τῷ Αἰγεῖ, ἢ τῇ πονηρίᾳ, ὥσπερ ἐν Ὀρέστῃ τοῦ **Μενελάου** 61 b 21.

μέντοι, toutefois, pourtant, en vérité : οὐ μέντοι κατὰ πᾶσαν κακίαν 49 a 32; μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει 57 a 27; εἰ μέντοι τὸ τέλος ἢ μᾶλλον ἢ 〈μὴ〉 ἧττον ἐνεδέχετο 60 b 27.

Μερόπη (ἡ), Mérope : κράτιστον δὲ τὸ τελευταῖον, λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν υἱὸν ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 5.

μέρος (τὸ), part, partie, portion : διαφέρουσι δὲ [αἱ τέχναι] ὅτι αἱ μὲν ἅμα πᾶσι [sc. χρῶνται], αἱ δὲ κατὰ μέρος 47 b 28; ἔστι δέ πρόλογος μὲν μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ παρόδου, ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας τὸ μεταξὺ ὅλων χορικῶν μελῶν, ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος 52 b 19, 20 & 21; γεγονότων γὰρ καθ' ἕκαστον μέρος ἀγαθῶν ποιητῶν 56 a 6; ὅσοι πέρσιν Ἰλίου ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος, ὥσπερ Εὐριπίδης 56 a 17; ἧς μέρος οὐδέν ἐστι καθ' αὑτὸ σημαντικόν 57 a 11; ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό 57 a 15; μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει 57 a 27; οὐκ ἐλάχιστον δὲ μέρος συμβάλλονται εἰς τὸ σαφὲς τῆς λέξεως καὶ μὴ ἰδιωτικὸν αἱ ἐπεκτάσεις κ. τ. α. 58 a 34; νῦν δ' ἓν μέρος ἀπολαβὼν ἐπεισοδίοις κέχρηται αὐτῶν πολλοῖς 59 a 35; διὰ τὸ ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα πολλὰ μέρη μιμεῖσθαι, ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον · ἐν δὲ τῇ ἐποποιΐᾳ, διὰ τὸ διήγησιν εἶναι, ἔστι πολλὰ μέρη ἅμα ποιεῖν περαινόμενα 59 b 25, 26 & 27; ἀλλ' ὀρθῶς ἔχει, ... εἰ οὕτως ἐκπληκτικώτερον ἢ αὐτὸ ἢ ἄλλο ποιεῖ μέρος 60 b 26; καὶ ἔτι οὐ μικρὸν μέρος τὴν μουσικὴν καὶ τὰς ὄψεις 62 a 15; καὶ τὰ μέρη συνεστάναι τῶν πραγμάτων οὕτως ὥστε μετατιθεμένου τινὸς **μέρους** ἢ ἀφαιρουμένου διαφέρεσθαι καὶ κινεῖσθαι τὸ ὅλον 51 a 32 & 33; λέγω δὲ δέσιν μὲν εἶναι τὴν ἀπ' ἀρχῆς μέχρι τούτου τοῦ μέρους ὃ ἔσχατόν ἐστιν 55 b 27; **μέρη** δ' ἐστὶ τὰ μὲν ταὐτά, τὰ δὲ ἴδια τῆς τραγῳδίας 49 b 16; ἀνάγκη οὖν πάσης τραγῳδίας μέρη εἶναι ἕξ, καθ' ἃ ποιά τις ἐστὶν ἡ τραγῳδία · ταῦτα δ' ἐστὶ μῦθος καὶ ἤθη καὶ λέξις καὶ διάνοια καὶ ὄψις καὶ μελοποιΐα 50 a 8; οἷς μὲν γὰρ μιμοῦνται, δύο μέρη ἐστίν, ὡς δὲ μιμοῦνται, ἕν, ἃ δὲ μιμοῦνται, τρία, καὶ παρὰ ταῦτα οὐδέν 50 a 11; πρὸς δὲ τούτοις τὰ μέγιστα οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστίν, αἵ τε περιπέτειαι καὶ ἀναγνωρίσεις 50 a 34; 51 a 32 (*supra*); δύο μὲν οὖν τοῦ μύθου μέρη περὶ ταῦτ' ἐστί, περιπέτεια καὶ ἀναγνώρισις, τρίτον δὲ πάθος 52 b 9; μέρη δὲ τραγῳδίας οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι πρότερον εἴπο-

μεν 52 b 14 & 25; [τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη] 55 b 34; ἐκεῖ μὲν γὰρ [sc. ἐν τῇ ἐποποιΐᾳ] διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος 56 a 14; μέρη δὲ τούτων τό τε ἀποδεικνύναι καὶ τὸ λύειν καὶ τὸ πάθη παρασκευάζειν, κ. τ. α. 56 a 37; τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 20; ταύτης δὲ μέρη τό τε φωνῆεν καὶ τὸ ἡμίφωνον καὶ ἄφωνον 56 b 25; λόγος δὲ φωνὴ συνθετὴ σημαντική, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι 57 a 24; καὶ τὰ μέρη ἔξω μελοποιΐας καὶ ὄψεως ταὐτά 59 b 10; πολλὰ μέρη (*bis*) 59 b 25 & 27 (*supra*); ὥσπερ ἡ Ἰλιὰς ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ Ὀδύσσεια, ⟨ἃ⟩ καὶ καθ' ἑαυτὰ ἔχει μέγεθος 62 b 9; τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ γελοῖον, τὸ δὲ μέτριον κοινὸν ἁπάντων ἐστὶ τῶν **μερῶν** 58 b 12; τούς τε λόγους μὴ συνίστασθαι ἐκ μερῶν ἀλόγων, ἀλλὰ μάλιστα μὲν μηδὲν ἔχειν ἄλογον 60 a 28; περὶ μὲν οὖν τραγῳδίας καὶ ἐποποιΐας, καὶ αὐτῶν καὶ τῶν εἰδῶν καὶ τῶν μερῶν, ... εἰρήσθω τοσαῦτα 62 b 16; τῇ δὲ λέξει δεῖ διαπονεῖν ἐν τοῖς ἀργοῖς **μέρεσι** καὶ μήτε ἠθικοῖς μήτε διανοητικοῖς 60 b 3. — Voir μόριον.

μέσος, η, ον, situé au milieu, moyen, médian : ὅλον δ' ἐστὶ τὸ ἔχον ἀρχὴν καὶ **μέσον** καὶ τελευτήν 50 b 27; μέσον δὲ ὃ καὶ αὐτὸ μετ' ἄλλο καὶ μετ' ἐκεῖνο ἕτερον 50 b 32; [καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ **μέσου**] 57 a 3; φωνὴ ἄσημος... πεφυκυῖα τίθεσθαι καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ μέσου 57 a 10; ταῦτα δὲ διαφέρει..., ἔτι δὲ ὀξύτητι καὶ βαρύτητι καὶ τῷ **μέσῳ** 56 b 33; καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ **μέσα** καὶ τέλος 59 a 20.

μετά, μετ', μεθ', avec, parmi, au milieu de (gén.); après (acc.) :

1° **avec le génitif** : 47 b 8 (μετ' ἀλλήλων); 49 b 10 (μετὰ μέτρου : *var.* μέτρου μετὰ λόγου); 51 b 3 (μετὰ μέτρου ἢ ἄνευ μέτρων); 52 a 17 (μετ' ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν); 56 a 22 (μετὰ πονηρίας); 56 b 27 (μετὰ προσβολῆς), 28 (*id.*), 29 (μετὰ δὲ τῶν ἐχόντων) & 36 (μετὰ τοῦ Α); 57 a 14 (μετὰ χρόνου);

2° **avec l'accusatif** : 50 b 22 (μετὰ ταῦτα), 28 (μετ' ἄλλο), 29 (μετ' ἐκεῖνο), 30 (μετ' ἄλλο), 31 (μετὰ δὲ τοῦτο) & 32* (μετ' ἄλλο καὶ μετ' ἐκεῖνο); 51 b 35 (μετ' ἄλληλα); 52 a 21 (τάδε διὰ τάδε ἢ μετὰ τάδε); 52 b 22 (μεθ' ὅ); 55 b 12 (μετὰ ταῦτα); 59 a 28 (θάτερον μετὰ θάτερον).

μεταβαίνειν, changer, passer (d'un état à un autre) : ἐξ οὗ μεταβαίνειν εἰς εὐτυχίαν ⟨συμβαίνει⟩ ἢ εἰς ἀτυχίαν 55 b 27.

περαίνειν, accomplir, achever, mener à bien : ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, ... δι' ἐλέου καὶ φόβου **περαίνουσα** τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν 49 b 27 ; λέγω δὲ... χωρὶς τοῖς εἴδεσι τὸ διὰ μέτρων ἔνια μόνον **περαίνεσθαι** καὶ πάλιν ἕτερα διὰ μέλους 49 b 30 ; ἐν δὲ τῇ ἐποποιΐᾳ, διὰ τὸ διήγησιν εἶναι, ἔστι πολλὰ μέρη ἅμα ποιεῖν **περαινόμενα**, ὑφ' ὧν οἰκείων ὄντων αὔξεται ὁ τοῦ ποιήματος ὄγκος 59 b 27.

περὶ, περί, au sujet de, à propos de, autour de, à l'égard de : ἄρθρον δ' ἐστὶ φωνὴ ἄσημος ἣ λόγου ἀρχὴν ἢ τέλος ἢ διορισμὸν δηλοῖ, οἷον τὸ ἀμφί, καὶ τὸ περί, καὶ τὰ ἄλλα 57 a 7 ;

1° **avec le génitif** : 47 a 8 (περὶ ποιητικῆς αὐτῆς) & 11 ; 47 b 23 ; 48 b 2 ; 49 a 29 *var.* ; 49 b 17, 18, 21* & 22 ; 54 a 13 ; 54 b 17 ; 55 a 6 ; 56 a 33* & 35 ; 56 b 33 ; 59 a 1* (καὶ τὸ « Ἀχιλλέως πέρι », ἀλλὰ μὴ « περὶ Ἀχιλλέως »), 15 & 17 ; 60 b 6, 28 & 35 (οἷον τὰ περὶ θεῶν) ; 61 a 2 & 4 ; 61 b 35 ; 62 b 15, 17 & 18 *var.* (περὶ δὲ ἰάμβων καὶ κωμῳδίας γράψω) ;

2° **avec l'accusatif** : 48 a 10 & 14* ; 50 b 20 ; 51 a 16 & 28 ; 51 b 14 & 24 ; 52 b 9 ; 53 a 4, 5*, 6, 18 & 20 ; 54 a 9 & 16 ; 54 b 2 ; 56 a 34 ; 56 b 8 ; 59 a 19, 23 & 37 ; 59 b 1 ; 60 a 14 & 36 ; 61 b 4.

περιδέραιον (τὸ), collier : καὶ τούτων τὰ μὲν ἐν τῷ σώματι, οἷον οὐλαί, τὰ δὲ ἐκτός, οἷον τὰ **περιδέραια** 54 b 24 (*var.* περιδέρρεα) ; αἱ γὰρ τοιαῦται [sc. ἀναγνωρίσεις] μόναι ἄνευ τῶν πεποιημένων, σημείων καὶ **περιδεραίων** 55 a 22 (*var.* δεραίων).

περιεργάζεσθαι, « en faire trop », surcharger son jeu (au théâtre) : πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία, ἀλλὰ τῆς ὑποκριτικῆς, ἐπεὶ ἔστι περιεργάζεσθαι τοῖς σημείοις καὶ ῥαψῳδοῦντα, ὅπερ Σωσίστρατος, καὶ διᾴδοντα, ὅπερ ἐποίει Μνασίθεος ὁ Ὀπούντιος 62 a 6.

περίοδος (ἡ), révolution (du soleil), cours d'une journée : ἔτι δὲ τῷ μήκει · ἡ μὲν ⟨γὰρ⟩ [sc. τραγῳδία] ὅτι μάλιστα πειρᾶται ὑπὸ μίαν **περίοδον** ἡλίου εἶναι ἢ μικρὸν ἐξαλλάττειν, ἡ δὲ ἐποποιΐα ἀόριστος τῷ χρόνῳ 49 b 13.

περιοικίς (ἡ), bourgade voisine, village des environs : αὐτοὶ μὲν γὰρ κώμας τὰς **περιοικίδας** καλεῖν φασίν, Ἀθηναίους δὲ δήμους 48 a 36.

περιπέτεια (ἡ), événement imprévu, passage soudain à un état nouveau, phase imprévue (dans une action dramatique), péripétie : ἔστι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν πραττομένων μεταβολή, καθάπερ εἴρηται · καὶ τοῦτο δέ, ὥσπερ λέγομεν, κατὰ τὸ εἰκὸς ἢ ἀναγκαῖον 52 a 22 ; καλλίστη δὲ ἀναγνώρισις, ὅταν ἅμα περιπέτεια γένηται, οἷον ἔχει ἡ ἐν τῷ Οἰδίποδι 52 a 33 ; ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον, οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται 52 a 38 ; δύο μὲν οὖν τοῦ μύθου μέρη περὶ ταῦτ' ἐστί, περιπέτεια καὶ ἀναγνώρισις, τρίτον δὲ πάθος. Τούτων δὲ περιπέτεια μὲν καὶ ἀναγνώρισις εἴρηται 52 b 9 & 10 ; ἡ μὲν πεπλεγμένη [sc. τραγῳδία], ἧς τὸ ὅλον ἐστὶ περιπέτεια καὶ ἀναγνώρισις 55 b 34 ; λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν ἧς γινομένης, ὥσπερ ὥρισται, συνεχοῦς καὶ μιᾶς, ἄνευ **περιπετείας** ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνε-

ται · πεπλεγμένην δὲ ἐξ ἧς μετ' ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν ἡ μετάβασίς ἐστιν 52 a 15 & 17 ; αἱ δὲ [sc. ἀναγνωρίσεις] ἐκ περιπετείας, ὥσπερ ἡ ἐν τοῖς Νίπτροις, βελτίους 54 b 29 ; πρὸς δὲ τούτοις τὰ μέγιστα οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστίν, αἵ τε **περιπέτειαι** καὶ ἀναγνωρίσεις 50 a 34 ; καὶ γὰρ **περιπετειῶν** δεῖ καὶ ἀναγνωρίσεων καὶ παθημάτων 59 b 11 ; ἐν δὲ ταῖς **περιπετείαις** καὶ ἐν τοῖς ἁπλοῖς πράγμασιν στοχάζονται [sc. οἱ ποιηταὶ] ὧν βούλονται θαυμαστῶς 56 a 19.

περιτείνειν, étendre, développer : εἶθ' οὕτως ἐπεισοδιοῦν καὶ περιτείνειν 55 b 2 *var.* : voir παρατείνειν.

περιττός, ή, όν, étendu, surchargé, redondant ; **περιττὴ** γὰρ καὶ ⟨ταύτῃ⟩ ἡ διηγηματικὴ μίμησις τῶν ἄλλων 59 b 36.

περιωδυνία (ἡ), vive douleur, souffrance cruelle : πάθος δ' ἐστὶ πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά, οἷον οἵ τε ἐν τῷ φανερῷ θάνατοι καὶ αἱ **περιωδυνίαι** καὶ τρώσεις καὶ ὅσα τοιαῦτα 52 b 12.

Πέρσαι (οἱ), les *Perses*, poème de Timothée (?) : ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους, ὡς **Πέρσας**, Κύκλωπας, Τιμόθεος καὶ Φιλόξενος 48 a 15 *var.*

πέρσις (ἡ), destruction (d'une ville) : καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτὼ [sc. τραγῳδίαι], οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 6 ; σημεῖον δέ, ὅσοι **πέρσιν** Ἰλίου ὅλην ἐποίησαν καὶ μὴ κατὰ μέρος, ὥσπερ Εὐριπίδης ⟨ἢ⟩ Νιόβην, καὶ μὴ ὥσπερ Αἰσχύλος 56 a 16.

Πηλεΐδης (ὁ), le fils de Pélée (Achille) : ἐπεκτεταμένον μὲν [sc. ὄνομα] οἷον τὸ πόλεως « πόληος » καὶ τὸ **Πηλεΐδου** « **Πηληϊάδεω** » 58 a 4 (cf. Homère, *Iliade*, I, 1).

Πηλεύς (ὁ), *Pélée* (titre d'une tragédie perdue de Sophocle, et d'une autre d'Euripide) : ἡ δὲ ἠθική [sc. τραγῳδία], οἷον αἱ Φθιώτιδες καὶ ὁ Πηλεύς 56 a 2.

Πηληϊάδης (ὁ), le fils de Pélée : 58 a 4 : voir Πηλεΐδης.

πιθανός, ή, όν, croyable, digne de foi : αἴτιον δ' ὅτι **πιθανόν** ἐστι τὸ δυνατόν 51 b 16 ; πρός τε γὰρ τὴν ποίησιν αἱρετώτερον πιθανὸν ἀδύνατον ἢ ἀπίθανον καὶ δυνατόν 61 b 11 ; **πιθανώτατοι** γὰρ [sc. ποιηταὶ] ἀπὸ τῆς αὐτῆς φύσεως οἱ ἐν τοῖς πάθεσίν εἰσι, καὶ χειμαίνει ὁ χειμαζόμενος... ἀληθινώτατα 55 a 31.

πίθηκος (ὁ), singe : ὡς λίαν γὰρ ὑπερβάλλοντα, **πίθηκον** ὁ Μυννίσκος τὸν Καλλιππίδην ἐκάλει 61 b 34 (voir le suivant).

Πίνδαρος (ὁ), Pindare (acteur tragique inconnu d'autre part) : πίθηκον ὁ Μυννίσκος τὸν Καλλιππίδην ἐκάλει, τοιαύτη δὲ δόξα καὶ περὶ **Πινδάρου** ἦν 61 b 35 (voir le précédent).

πίνειν, boire : ὅθεν εἴρηται ὁ Γανυμήδης « Διῒ οἰνοχεύειν », οὐ **πινόντων** οἶνον [sc. τῶν θεῶν] 61 a 29.

πιστεύειν, croire : τὰ μὲν οὖν μὴ γενόμενα οὔπω **πιστεύομεν** εἶναι δυνατά, τὰ δὲ γενόμενα φανερὸν ὅτι δυνατά 51 b 17.

πίστις (ἡ), preuve, élément de démonstration : εἰσὶ γὰρ αἱ μὲν [sc. ἀναγνωρίσεις] **πίστεως** ἕνεκα ἀτεχνότεραι, καὶ αἱ τοιαῦται πᾶσαι 54 b 28.

πλάνη (ἡ), voyage errant : ὡς κωμῳδοὺς οὐκ ἀπὸ τοῦ κωμάζειν λεχθέντας, ἀλλὰ τῇ κατὰ κώμας **πλάνῃ** ἀτιμαζομένους ἐκ τοῦ ἄστεως 48 a 38.

πλεῖστος, η, ον, très nombreux, le plus considérable : καὶ τῆς αὐλητικῆς ἡ **πλείστη** καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον

47 a 15 ; εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ ἀτεχνοτάτη, καὶ ᾗ **πλείστῃ** χρῶνται δι' ἀπορίαν, ἡ διὰ τῶν σημείων 54 b 20 ; **πλεῖστα** γὰρ ἰαμβεῖα λέγομεν ἐν τῇ διαλέκτῳ τῇ πρὸς ἀλλήλους 49 a 26 ; μάλιστα μὲν οὖν ἅπαντα δεῖ πειρᾶσθαι ἔχειν, εἰ δὲ μή, τὰ μέγιστα καὶ πλεῖστα 56 a 4 ; αἱ γὰρ τῶν νέων τῶν **πλείστων** ἀήθεις τραγῳδίαι εἰσί, καὶ ὅλως ποιηταὶ πολλοὶ τοιοῦτοι 50 a 25. — Voir πλείων, πολύς.

πλείων, **ων**, **ον**, plus nombreux, plus abondant : τὰ δὲ ἀμφιβολίᾳ · « παρῴχηκεν δὲ **πλέω** νύξ » · τὸ γὰρ πλέω ἀμφιβολόν ἐστιν 61 a 26* (*Iliade*, X, 252 : codd. Hom. πλέων νύξ) ; καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος **πλέον** ὀκτώ [sc. τραγῳδίαι] 59 b 5 ; ἐκ γὰρ ὁποιασοῦν μιμήσεως **πλείους** τραγῳδίαι γίνονται 62 b 4 ; φωνὴν μίαν σημαντικὴν ἐκ **πλειόνων** φωνῶν πεφυκυῖαν 57 a 1 & 9 ; ἢ φωνὴ ἄσημος ἢ ἐκ πλειόνων μὲν φωνῶν μιᾶς, σημαντικῶν δέ 57 a 4 ; οἷον ἐὰν ἐκ πλειόνων πράξεων ᾖ συγκειμένη [sc. ἡ ἐποποιία] 62 b 7 ; ἢ ὁ ἐκ **πλειόνων** συνδέσμῳ [sc. λόγος εἷς] 57 a 29 ; ὅσα ἐν τούτῳ συνέβη περὶ ἕνα ἢ **πλείους** 59 a 24. — Voir πλεῖστος, πολύς.

πλέκειν, nouer, composer, construire une intrigue complexe : πολλοὶ δὲ [sc. ποιηταὶ] **πλέξαντες** εὖ, λύουσι κακῶς · δεῖ δὲ ἄμφω ἀεὶ κρατεῖσθαι 56 a 9 ; ἡ μὲν **πεπλεγμένη** [sc. τραγῳδία], ἧς τὸ ὅλον ἐστὶ περιπέτεια καὶ ἀναγνώρισις · ἡ δὲ ⟨ἁπλῆ... ἡ δὲ⟩ παθητική... ἡ δὲ ἠθική... 55 b 34 ; ἡ μὲν Ἰλιὰς ἁπλοῦν καὶ παθητικόν, ἡ δὲ Ὀδύσσεια **πεπλεγμένον** (ἀναγνώρισις γὰρ διόλου) καὶ ἠθική 59 b 15 ; λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν... · **πεπλεγμένην** δὲ ἐξ ἧς μετ' ἀναγνωρισμοῦ ἢ περιπετείας ἢ ἀμφοῖν ἡ μετάβασίς ἐστιν 52 a 16 ; ἐπειδὴ οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας μὴ ἁπλῆν, ἀλλὰ πεπλεγμένην 52 b 32 ; ἢ γὰρ ἁπλῆν ἢ πεπλεγμένην ἢ ἠθικὴν ἢ παθητικήν 59 b 9 ; εἰσὶ δὲ τῶν μύθων οἱ μὲν ἁπλοῖ, οἱ δὲ **πεπλεγμένοι** 52 a 12. — Opp. ἁπλοῦς.

πλέον, plus de : 59 b 5. — Voir πλείων.

πλῆθος (τὸ), quantité, grand nombre, abondance : καὶ τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε 49 a 16 ; ... πρὸς δὲ τὸ πλῆθος τραγῳδιῶν τῶν εἰς μίαν ἀκρόασιν τιθεμένων παρήκοιεν 59 b 21 ; ἔτι δὲ ἐπεισοδίων **πλήθη** καὶ τὰ ἄλλα ὡς ἕκαστα κοσμηθῆναι λέγεται, ἔστω ἡμῖν εἰρημένα 49 a 28 ; τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται 49 b 5 ; ὥστε ἴσα συμβαίνει πλήθη εἰς ὅσα τὰ ἄρρενα καὶ τὰ θήλεα [sc. ὀνόματα] 58 a 14.

πλήν, sauf, si ce n'est : πλὴν οἱ ἄνθρωποί γε συνάπτοντες τῷ μέτρῳ τὸ ποιεῖν 47 b 13 ; οὐδὲν δὲ κοινόν ἐστιν Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ πλὴν τὸ μέτρον 47 b 18 ; οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν οὔτε μέλλων, πλὴν κατ' αὐτὸ τὸ πάθος 53 b 18 ; πλὴν τοσοῦτον διαφέρει ὅτι τὰ μὲν... τὰ δὲ... 56 b 4 ; πλὴν οὐκ ἐν τῷ ὀνόματι ⟨ὡς⟩ σημαίνοντος καὶ ἀσήμου 57 a 33.

πλῆξις (ἡ), coup (porté ou reçu) : τῆς **πλήξεως** γιγνομένης δι' εἰκότων, οἷον ἐν τῷ Σοφοκλέους Οἰδίποδι 55 a 19 *var.* — Voir ἔκπληξις.

πληροῦν, remplir, rassasier : τὸ γὰρ ὅμοιον ταχὺ **πληροῦν** ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας 59 b 31.

πλήττειν, frapper, blesser : Ὀδύσσειαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ συνέβη [sc. τῷ Ὀδυσσεῖ], οἷον **πληγῆναι** μὲν ἐν τῷ Παρνασσῷ, μανῆναι δὲ προσποιήσασθαι ἐν τῷ ἀγερμῷ 51 a 26.

πλοκή (ἡ), nœud, intrigue (d'un drame) : τοῦτο δέ, ὧν ἡ αὐτὴ πλοκὴ καὶ λύσις 56 a 9.

πόθεν, d'où, de quelle source : καὶ πόθεν ἔσται τὸ τῆς τραγῳδίας ἔργον, ἐφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις 52 b 29.

ποιεῖν, faire, fabriquer, composer (un poème), faire preuve d'invention poétique : πλὴν οἱ ἄνθρωποί γε συνάπτοντες τῷ μέτρῳ τὸ ποιεῖν, ἐλεγειοποιούς, τοὺς δὲ ἐποποιοὺς ὀνομάζουσιν 47 b 14 ; καὶ τὸ ποιεῖν αὐτοὶ μὲν δρᾶν, 'Αθηναίους δὲ πράττειν προσαγορεύειν 48 b 1 ; τὸ δὲ μύθους ποιεῖν 'Επίχαρμος καὶ Φόρμις 49 b 6 ; τῶν δὲ 'Αθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους 49 b 8 ; οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι 50 a 35 ; κἂν ἄρα συμβῇ γενόμενα ποιεῖν, οὐθὲν ἧττον ποιητής ἐστιν 51 b 30 ; τὸ μέλλοντα ποιεῖν τι τῶν ἀνηκέστων δι' ἄγνοιαν ἀναγνωρίσαι πρὶν ποιῆσαι 53 b 35 & 36 ; τοιούτους ὄντας ἐπιεικεῖς ποιεῖν 54 b 13 ; χρὴ δὲ... μὴ ποιεῖν ἐποποιϊκὸν σύστημα τραγῳδίαν 56 a 11 ; τὸ γὰρ κελεῦσαι, φησί, ποιεῖν τι ἢ μή, ἐπίταξίς ἐστιν 56 b 17 ; ἢ φωνὴ ἄσημος ἥ... ποιεῖν πέφυκεν μίαν σημαντικὴν φωνήν 57 a 5 ; οἷον Εὐκλείδης ὁ ἀρχαῖος, ὡς ῥᾴδιον ποιεῖν, εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁπόσον βούλεται 58 b 8 ; τῷ μηδὲ τὸν πόλεμον... ἐπιχειρῆσαι ποιεῖν ὅλον 59 a 32 ; ἐν δὲ τῇ ἐποποιίᾳ... ἔστι πολλὰ μέρη ἅμα ποιεῖν περαινόμενα 59 b 27 ; μόνος τῶν ποιητῶν οὐκ ἀγνοεῖ ὃ δεῖ ποιεῖν αὐτόν 60 a 6 ; δεῖ μὲν οὖν ἐν ταῖς τραγῳδίαις ποιεῖν τὸ θαυμαστόν 60 a 12 ; οἷον καὶ Σοφοκλῆς ἔφη αὐτὸς μὲν οἵους δεῖ ποιεῖν, Εὐριπίδην δὲ οἷοι εἰσίν 60 b 34 ; δεῖ γὰρ οὐ τὴν τυχοῦσαν ἡδονὴν ποιεῖν αὐτάς, ἀλλὰ τὴν εἰρημένην 62 b 13 ; ἢ ἕτερόν τι γιγνόμενον, ὥσπερ "Ομηρος **ποιεῖ**, ἢ ὡς τὸν αὐτὸν καὶ μὴ μεταβάλλοντα 48 a 22 ; ὃ γὰρ προσὸν ἢ μὴ προσὸν μηδὲν ποιεῖ ἐπίδηλον, οὐδὲν μόριον τοῦ ὅλου ἐστίν 51 a 35 ; διόπερ οὐδεὶς ποιεῖ ὁμοίως, εἰ μὴ ὀλιγάκις 54 a 1 ; φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικήν 57 a 1 & 8 ; διὰ γὰρ τὸ μὴ εἶναι ἐν τοῖς κυρίοις ποιεῖ τὸ μὴ ἰδιωτικὸν ἐν τῇ λέξει ἅπαντα τὰ τοιαῦτα 59 a 2 ; τὸ γὰρ ὅμοιον ταχὺ πληροῦν ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας 59 b 31 ; εἰ οὕτως ἐκπληκτικώτερον ἢ αὐτὸ ἢ ἄλλο ποιεῖ μέρος 60 b 26 ; ἔτι ἡ τραγῳδία καὶ ἄνευ κινήσεως ποιεῖ τὸ αὑτῆς, ὥσπερ ἡ ἐποποιία 62 a 11 ; οὔκουν ὅπως τὰ ἤθη μιμήσωνται πράττοντας **ποιοῦσιν** 50 a 21 *var.* ; καὶ οὐχ ὥσπερ οἱ ἰαμβοποιοὶ περὶ τὸν καθ' ἕκαστον ποιοῦσιν 51 b 15 ; οἱ δ' ἄλλοι [sc. ποιηταὶ] περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ 59 a 37 ; ἕξει δὲ ἦθος μὲν ἐὰν ὥσπερ ἐλέχθη **ποιῇ** φανερὸν ὁ λόγος ἢ ἡ πρᾶξις προαιρεσίν τινα 54 a 18 ; ἐξηλλαγμένον δ' ἐστίν [sc. τὸ ὄνομα], ὅταν τοῦ ὀνομαζομένου τὸ μὲν καταλείπῃ, τὸ δὲ ποιῇ 58 a 7 ; ἵν' ὥσπερ ζῷον ἓν ὅλον ποιῇ τὴν οἰκείαν ἡδονήν 59 a 21 ; ὥστ' ἐὰν μὲν ἕνα μῦθον **ποιῶσιν** 62 b 5 ; οἷον εἴ τις τὸν τῆς 'Ιλιάδος ὅλον **ποιοῖ** μῦθον 56 a 13 ; 'Οδύσσειαν γὰρ **ποιῶν** οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ συνέβη [sc. τῷ 'Οδυσσεῖ] 51 a 25* ; οὐδὲν ἐλεεινὸν οὔτε ποιῶν οὔτε μέλλων, πλὴν κατ' αὐτὸ τὸ πάθος 53 b 17 ; τούς τε λόγους καὶ τοὺς πεποιημένους δεῖ καὶ αὐτὸν **ποιοῦντα** ἐκτίθεσθαι καθόλου 55 b 1 ; οἱ δὲ εὐτελέστεροι [sc. ποιηταὶ] τὰς τῶν φαύλων [sc. πράξεις ἐμιμοῦντο] πρῶτον ψόγους **ποιοῦντες**, ὥσπερ ἕτεροι ὕμνους καὶ ἐγκώμια 48 b 27 ; ἀγωνίσματα γὰρ ποιοῦντες, καὶ παρὰ τὴν δύναμιν παρατείνοντες τὸν μῦθον, πολλάκις διαστρέφειν ἀναγκάζονται τὸ ἐφεξῆς 51 b 38 ; ἀκολουθοῦσι γὰρ οἱ ποιηταὶ κατ' εὐχὴν ποιοῦντες τοῖς θεαταῖς 53 a 35 ; καὶ γὰρ ἐκεῖνοι ἀποδιδόντες τὴν ἰδίαν μορφήν, ὁμοίους ποιοῦντες καλλίους γράφουσιν 54 b 11 ; ὅπερ **ἐποίει** Μνασίθεος ὁ 'Οπούντιος 62 a 7 ; καίτοι τὸ πρῶτον ὁμοίως ἐν ταῖς τραγῳδίαις τοῦτο **ἐποίουν** καὶ ἐν τοῖς ἔπεσιν 49 b 15 ; οἱ μὲν γὰρ ἀρχαῖοι [sc. ποιηταὶ] πολιτικῶς ἐποίουν λέγοντας, οἱ δὲ νῦν ῥητορικῶς 50 b 7 ; ἔστι μὲν γὰρ οὕτω γίνεσθαι τὴν πρᾶξιν ὥσπερ οἱ παλαιοὶ ἐποίουν, εἰδότας καὶ γινώσκοντας 53 b 28 ; ἐπεὶ ἐὰν μὴ τύχῃ προεωρακώς, οὐχ ᾗ μίμημα **ποιήσει** τὴν ἡδονήν, ἀλλὰ διὰ τὴν ἀπεργασίαν ἢ τὴν χροιὰν ἢ διὰ τοιαύτην τινὰ ἄλλην αἰτίαν 48 b 18 ; ἔτι ἐάν τις ἐφεξῆς θῇ ῥήσεις ἠθικὰς καὶ λέξει καὶ διανοίᾳ εὖ πεποιημένας, οὐ ποιήσει

ὃ ἦν τῆς τραγῳδίας ἔργον 50 a 30* ; τὸ μὲν γὰρ μὴ ἰδιωτικὸν ποιήσει μηδὲ ταπεινὸν ἡ γλῶττα καὶ ἡ μεταφορὰ καὶ ὁ κόσμος..., τὸ δὲ κύριον τὴν σαφήνειαν [sc. ποιήσει] 58 a 32 ; διὰ μὲν γὰρ τὸ ἄλλως ἔχειν ἢ ὡς τὸ κύριον, παρὰ τὸ εἰωθὸς γιγνόμενον, τὸ μὴ ἰδιωτικὸν ποιήσει, διὰ δὲ τὸ κοινωνεῖν τοῦ εἰωθότος τὸ σαφὲς ἔσται 58 b 4 ; καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ ἢ **ποιῆσαι** 53 a 22 ; ἀναγνωρίσαι πρὶν ποιῆσαι 53 b 36 (*supra*) ; τρίτον δὲ τὸ ὅμοιον · τοῦτο γὰρ ἕτερον τοῦ χρηστὸν τὸ ἦθος καὶ ἁρμόττον ποιῆσαι ὥσπερ εἴρηται 54 a 25 ; τὸ δὲ ὡς δὴ ἐκείνου ἀναγνωριοῦντος διὰ τούτου ποιῆσαι παραλογισμός 55 a 17 ; κατὰ μὲν οὖν τὴν τῶν ⟨ἄλλων⟩ ὀνομάτων σύνθεσιν οὐχ οἷόν τε τοῦτο ποιῆσαι, κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται 58 a 28 ; καθάπερ Χαιρήμων **ἐποίησε** Κένταυρον μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων 47 b 21 ; μόνος γὰρ οὐχ ὅτι εὖ, ἀλλ' ὅτι καὶ μιμήσεις δραματικὰς ἐποίησεν [sc. ὁ Ὅμηρος] 48 b 36 ; Ὀδύσσειαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα... 51 a 25* (*supra*) ; δηλώσας ὃς ἦν, τοὐναντίον ἐποίησεν 52 a 26 ; καθάπερ καὶ Εὐριπίδης ἐποίησεν ἀποκτείνουσαν τοὺς παῖδας τὴν Μήδειαν 53 b 29 ; εἶθ' ὡς Εὐριπίδης εἶθ' ὡς Πολύϊδος ἐποίησεν 55 b 10 ; Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε · « φαγέδαινα... » 58 b 22 ; ὅσοι πέρσιν Ἰλίου ὅλην **ἐποίησαν** καὶ μὴ κατὰ μέρος 56 a 16 ; ἀλλ' ἄν τις ἅπαντα τοιαῦτα **ποιήσῃ**, ἢ αἴνιγμα ἔσται ἢ βαρβαρισμός 58 a 24 ; δῆλον ἂν γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς **ποιήσειεν** 60 b 1 ; Ἡγήμων δὲ ὁ Θάσιος ⟨ὁ⟩ τὰς παρῳδίας **ποιήσας** πρῶτος 48 a 13 ; οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα 59 b 2 ; οἷον τὸ αὐτὸ **ποιήσαντος** ἰαμβεῖον Αἰσχύλου καὶ Εὐριπίδου 58 b 19 ; διὸ οὐδεὶς μακρὰν σύστασιν ἐν ἄλλῳ **πεποίηκεν** ἢ τῷ ἡρῴῳ 60 a 3 ; διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα ποιήματα **πεποιήκασιν** 51 a 21 ; ἐν αἷς ἀνάγκη οὐχὶ μιᾶς πράξεως **ποιεῖσθαι** δήλωσιν, ἀλλ' ἑνὸς χρόνου 59 a 22 ; καὶ τὰς μαθήσεις **ποιεῖται** διὰ μιμήσεως τὰς πρώτας [sc. ὁ ἄνθρωπος] 48 b 8 ; τοιγαροῦν ἐκ μὲν Ἰλιάδος καὶ Ὀδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι, ἐκ δὲ Κυπρίων πολλαί, καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ 59 b 3 ; ἅπασαι μὲν [sc. αἱ τέχναι] **ποιοῦνται** τὴν μίμησιν ἐν ῥυθμῷ καὶ λόγῳ καὶ ἁρμονίᾳ 47 a 21 ; ταύτας μὲν οὖν λέγω τὰς διαφορὰς τῶν τεχνῶν ἐν οἷς ποιοῦνται τὴν μίμησιν 47 b 29 ; ἐπεὶ δὲ πράττοντες ποιοῦνται τὴν μίμησιν, πρῶτον μὲν ἐξ ἀνάγκης... · ἐν τούτοις γὰρ ποιοῦνται τὴν μίμησιν 49 b 31 & 34 ; τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς ὑποκριτάς 51 b 36 ; οὐδὲ εἴ τις διὰ τριμέτρων ἢ ἐλεγείων ἢ τῶν ἄλλων τινῶν τῶν τοιούτων **ποιοῖτο** τὴν μίμησιν 47 b 12 ; ὁμοίως δὲ κἂν εἴ τις ἅπαντα τὰ μέτρα μιγνύων ποιοῖτο τὴν μίμησιν 47 b 21 ; εἰ γάρ τις ἐν ἄλλῳ τινὶ μέτρῳ διηγηματικὴν μίμησιν ποιοῖτο ἢ ἐν πολλοῖς, ἀπρεπὲς ἂν φαίνοιτο 59 b 33 ; διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς... **ποιούμενοι** τὰ ὀνόματα σημεῖον 48 a 35 ; ὁμοίως γὰρ ἐν τούτῳ τά τε πράγματα καὶ τὰ ὀνόματα **πεποίηται**, καὶ οὐδὲν ἧττον εὐφραίνει 51 b 22 ; ἢ ἀδύνατα πεποίηται ὁποιαοῦν 60 b 21 ; ⟨εἰ⟩ ἀδύνατα πεποίηται, ἡμάρτηται 60 b 24 ; ὅθεν πεποίηται · « κνημῖς... » 61 a 30 ; τὸ μὲν γὰρ τὸ τόξον ἐντείνειν... **πεποιημένον** ὑπὸ τοῦ ποιητοῦ καὶ ὑπόθεσις 55 a 15 ; ἅπαν δὲ ὄνομά ἐστιν ἢ κύριον ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ ὑφῃρημένον ἢ ἐξηλλαγμένον 57 b 2 ; πεποιημένον δ' ἐστὶν ὃ ὅλως μὴ καλούμενον ὑπὸ τινῶν αὐτὸς τίθεται ὁ ποιητής 57 b 33 ; δεύτεραι δὲ αἱ **πεποιημέναι** ὑπὸ τοῦ ποιητοῦ [sc. ἀναγνωρίσεις], διὸ ἄτεχνοι 54 b 30 ; ἐν ταῖς τραγῳδίαις ἐνίαις μὲν ἓν ἢ δύο τῶν γνωρίμων ἐστὶν ὀνομάτων, τὰ δὲ ἄλλα **πεποιημένα**, ἐν ἐνίαις δὲ οὐθέν 51 b 20 ; αἱ γὰρ τοιαῦται [sc. ἀναγνωρίσεις] μόναι ἄνευ τῶν **πεποιημένων**, σημείων καὶ δεραίων 55 a 21 ; τούς τε λόγους καὶ τοὺς **πεποιημένους** δεῖ καὶ αὐτὸν ποιοῦντα ἐκτίθεσθαι

καθόλου 55 a 35 & 55 b 1 ; ῥήσεις... εὖ **πεποιημένας**, οὐ ποιήσει... 50 a 30* (*supra*).

ποίημα (τὸ), poème, œuvre poétique : τῶν μὲν οὖν πρὸ Ὁμήρου οὐδενὸς ἔχομεν εἰπεῖν τοιοῦτον ποίημα, εἰκὸς δὲ εἶναι πολλούς 48 b 29 ; ὑφ' ὧν οἰκείων ὄντων αὔξεται ὁ τοῦ **ποιήματος** ὄγκος 59 b 28 ; διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα **ποιήματα** πεποιήκασιν 51 a 21 ; καίτοι ταῦτα τὰ ποιήματα συνέστηκεν ὡς ἐνδέχεται ἄριστα, καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις 62 b 10 ; καὶ γὰρ καὶ τῶν **ποιημάτων** ἑκάτερον συνέστηκεν ἡ μὲν Ἰλιὰς ἁπλοῦν καὶ παθητικόν, ἡ δὲ Ὀδύσσεια πεπλεγμένον... καὶ ἠθική 59 b 14.

ποίησις (ἡ), poésie, création poétique : καὶ πῶς δεῖ συνίστασθαι τοὺς μύθους, εἰ μέλλει καλῶς ἕξειν ἡ ποίησις 47 a 10 ; ἐποποιΐα δὴ καὶ ἡ τῆς τραγῳδίας ποίησις, ἔτι δὲ κωμῳδία..., πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις 47 a 14 ; εἰσὶ δέ τινες αἳ πᾶσι χρῶνται τοῖς εἰρημένοις, λέγω δὲ οἷον ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ, ὥσπερ ἥ τε τῶν διθυραμβικῶν ποίησις καὶ ἡ τῶν νόμων καὶ ἥ τε τραγῳδία καὶ ἡ κωμῳδία 47 b 26 ; διεσπάσθη δὲ κατὰ τὰ οἰκεῖα ἤθη ἡ ποίησις 48 b 24 ; διὸ καὶ φιλοσοφώτερον καὶ σπουδαιότερον ποίησις ἱστορίας ἐστίν · ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει 51 b 6* ; οὗ στοχάζεται ἡ ποίησις ὀνόματα ἐπιτιθεμένη 51 b 10 ; παράδειγμα δὲ ἡ Κλεοφῶντος ποίησις καὶ ἡ Σθενέλου 58 a 20 ; ἐξ ἀρχῆς οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα κατὰ μικρὸν προάγοντες ἐγέννησαν τὴν **ποίησιν** ἐκ τῶν αὐτοσχεδιασμάτων 48 b 23 ; παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας, οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν 49 a 3 ; τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο διὰ τὸ σατυρικὴν καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν 49 a 23 ; οἷον νεῶν καταλόγῳ καὶ ἄλλοις ἐπεισοδίοις, οἷς διαλαμβάνει τὴν ποίησιν 59 a 37 ; ὅλως δὲ τὸ ἀδύνατον μὲν πρὸς τὴν ποίησιν ἢ πρὸς τὸ βέλτιον ἢ πρὸς τὴν δόξαν δεῖ ἀνάγειν. Πρός τε γὰρ τὴν ποίησιν αἱρετώτερον πιθανὸν ἀδύνατον ἢ ἀπίθανον καὶ δυνατόν 61 b 10 & 11.

ποιητής (ὁ), poète : καὶ οἱ ἐκ Σικελίας, ἐκεῖθεν γὰρ ἦν Ἐπίχαρμος ὁ ποιητής 48 a 33 ; ὥσπερ δὲ καὶ τὰ σπουδαῖα μάλιστα ποιητὴς Ὅμηρος ἦν 48 b 34 ; ὁ γὰρ ἱστορικὸς καὶ ὁ ποιητὴς οὐ τῷ ἢ ἔμμετρα λέγειν ἢ ἄμετρα διαφέρουσιν 51 b 1 ; δῆλον οὖν ἐκ τούτων ὅτι τὸν ποιητὴν μᾶλλον τῶν μύθων εἶναι δεῖ ποιητὴν ἢ τῶν μέτρων, ὅσῳ ποιητὴς κατὰ τὴν μίμησίν ἐστι, μιμεῖται δὲ τὰς πράξεις. Κἂν ἄρα συμβῇ γενόμενα ποιεῖν, οὐθὲν ἧττον ποιητής ἐστιν · τῶν γὰρ γενομένων ἔνια οὐδὲν κωλύει τοιαῦτα εἶναι οἷα ἂν εἰκὸς γενέσθαι καὶ δυνατὰ γενέσθαι, καθ' ὃ ἐκεῖνος αὐτῶν ποιητής ἐστιν 51 b 27, 28*, 30 & 32 ; ἐκεῖνος δὲ [sc. Ὀρέστης] αὐτὸς λέγει ἃ βούλεται ὁ ποιητής, ἀλλ' οὐχ ὁ μῦθος 54 b 33 ; πεποιημένον δ' ἐστὶν [sc. ὄνομα] ὃ ὅλως μὴ καλούμενον ὑπὸ τινῶν αὐτὸς τίθεται ὁ ποιητής 57 b 34 ; δῆλον ἂν γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς ποιήσειεν · νῦν δὲ τοῖς ἄλλοις ἀγαθοῖς ὁ ποιητὴς ἀφανίζει ἡδύνων τὸ ἄτοπον 60 b 1 & 2 ; ἐπεὶ γάρ ἐστι μιμητὴς ὁ ποιητής, ὡσπερανεὶ ζωγράφος ἤ τις ἄλλος εἰκονοποιός 60 b 8 ; φανερὸν δὲ ἐκ τῶν εἰρημένων καὶ ὅτι οὐ τὸ τὰ γενόμενα λέγειν, τοῦτο **ποιητοῦ** ἔργον ἐστίν, ἀλλ' οἷα ἂν γένοιτο, καὶ τὰ δυνατὰ κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον 51 a 37 ; ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων, ὅπερ ἐστὶ πρότερον καὶ ποιητοῦ ἀμείνονος 53 b 3 ; δεύτεραι δὲ αἱ πεποιημέναι ὑπὸ τοῦ ποιητοῦ [sc. ἀναγνωρίσεις], διὸ ἄτεχνοι 54 b 31 ; τὸ μὲν γὰρ τὸ τόξον ἐντείνειν, ἄλλον δὲ μηδένα, πεποιημένον ὑπὸ τοῦ ποιητοῦ καὶ ὑπόθεσις 55 a 15 ; πρώτου ἄρξαντος Ἀγάθωνος τοῦ ποιητοῦ 56 a 30 *var.* ; οὐδὲν δὲ κοινόν ἐστιν Ὁμήρῳ καὶ Ἐμπεδοκλεῖ πλὴν τὸ μέτρον · διὸ τὸν μὲν **ποιητὴν** δίκαιον καλεῖν, τὸν δὲ φυσιολόγον μᾶλλον ἢ ποιητήν 47 b 19* ; καθάπερ Χαιρήμων ἐποίησε Κένταυ-

ρον μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων, καὶ ποιητὴν προσαγορευτέον 47 b 22 ; 51 b 27 & 28 (*supra*) ; ἐπεὶ δὲ τὴν ἀπὸ ἐλέου καὶ φόβου διὰ μιμήσεως δεῖ ἡδονὴν παρασκευάζειν τὸν ποιητήν, φανερὸν ὡς τοῦτο ἐν τοῖς πράγμασιν ἐμποιητέον 53 b 13 ; οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ ῥᾳθύμους καὶ τἆλλα τὰ τοιαῦτα ἔχοντας ἐπὶ τῶν ἠθῶν 54 b 11 ; ὃ μὴ ὁρῶντα τὸν ποιητὴν ἐλάνθανεν 55 a 28 *var.* ; ὥστε οὐκ ὀρθῶς ψέγουσιν οἱ ἐπιτιμῶντες τῷ τοιούτῳ τρόπῳ τῆς διαλέκτου καὶ διακωμῳδοῦντες τὸν ποιητήν 58 b 7 ; αὐτὸν γὰρ δεῖ τὸν ποιητὴν ἐλάχιστα λέγειν 60 a 7 ; καὶ ἐγένοντο τῶν παλαιῶν οἱ μὲν ἡρωϊκῶν, οἱ δὲ ἰάμβων **ποιηταί** 48 b 33 ; ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης [sc. τῆς κωμῳδίας] οἱ λεγόμενοι αὐτῆς ποιηταὶ μνημονεύονται 49 b 3 ; αἱ γὰρ τῶν νέων τῶν πλείστων ἀήθεις τραγῳδίαι εἰσί, καὶ ὅλως ποιηταὶ πολλοὶ τοιοῦτοι 50 a 26 ; οἷον καὶ οἱ πρῶτοι ποιηταὶ σχεδὸν ἅπαντες 50 a 37 ; πρῶτον μὲν γὰρ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν, νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται 53 a 18 ; ἀκολουθοῦσι γὰρ οἱ ποιηταὶ κατ' εὐχὴν ποιοῦντες τοῖς θεαταῖς 53 a 34 ; ἔτι δὲ κυριωτέρα περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν **ποιητῶν** ἐστιν 50 b 21 ; διὸ πάντες ἐοίκασιν ἁμαρτάνειν ὅσοι τῶν ποιητῶν Ἡρακληΐδα καὶ Θησηΐδα καὶ τὰ τοιαῦτα ποιήματα πεποιήκασιν 51 a 20 ; τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς ὑποκριτάς 51 b 36 ; καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ οἰκονομεῖ, ἀλλὰ τραγικώτατός γε τῶν ποιητῶν φαίνεται 53 a 30 ; γεγονότων γὰρ καθ' ἕκαστον μέρος ἀγαθῶν ποιητῶν, ἕκαστον τοῦ ἰδίου ἀγαθοῦ ἀξιοῦσι τὸν ἕνα ὑπερβάλλειν 56 a 6 ; σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν τοῦτο δρῶσιν 59 a 29 ; Ὅμηρος δὲ ἄλλα τε πολλὰ ἄξιος ἐπαινεῖσθαι, καὶ δὴ καὶ ὅτι μόνος τῶν ποιητῶν οὐκ ἀγνοεῖ ὃ δεῖ ποιεῖν αὐτόν 60 a 6 ; ... καὶ γλῶττα καὶ μεταφορὰ καὶ πολλὰ πάθη τῆς λέξεώς... · δίδομεν γὰρ ταῦτα τοῖς **ποιηταῖς** 60 b 13 ; οὐχ ὡς κατὰ τὴν μίμησιν **ποιητάς**, ἀλλὰ κοινῇ κατὰ τὸ μέτρον προσαγορεύοντες 47 b 15 ; ἄλλως τε καὶ ὡς νῦν συκοφαντοῦσι τοὺς ποιητάς 56 a 5.

ποιητικός, ή, όν, propre à la création ou à la poésie, poétique ; **ἡ ποιητικὴ τέχνη**, l'art poétique, la Poétique : διὸ εὐφυοῦς ἡ **ποιητική** ἐστιν ἢ μανικοῦ 55 a 33 ; περὶ **ποιητικῆς** αὐτῆς τε καὶ τῶν εἰδῶν αὐτῆς, ἥν τινα δύναμιν ἕκαστον ἔχει... 47 a 8 ; ἡ δὲ ὄψις ψυχαγωγικὸν μέν, ἀτεχνότατον δὲ καὶ ἥκιστα οἰκεῖον τῆς ποιητικῆς 50 b 19 ; διὸ παρείσθω ὡς ἄλλης καὶ οὐ τῆς ποιητικῆς ὂν θεώρημα 56 b 18 ; πρὸς δὲ τούτοις οὐχ ἡ αὐτὴ ὀρθότης ἐστὶν τῆς πολιτικῆς καὶ τῆς ποιητικῆς, οὐδὲ ἄλλης τέχνης καὶ ποιητικῆς. Αὐτῆς δὲ τῆς ποιητικῆς διττὴ ἁμαρτία · ἡ μὲν γὰρ καθ' αὑτήν, ἡ δὲ κατὰ συμβεβηκός 60 b 14 & 15* ; πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία, ἀλλὰ τῆς ὑποκριτικῆς 62 a 5 ; ταῦτα δὴ διατηρεῖν, καὶ πρὸς τούτοις τὰ παρὰ τὰς ἐξ ἀνάγκης ἀκολουθούσας αἰσθήσεις τῇ **ποιητικῇ** 54 b 16 ; ἐοίκασι δὲ γεννῆσαι μὲν ὅλως τὴν **ποιητικὴν** αἰτίαι δύο τινές, καὶ αὗται φυσικαί 48 b 4 ; παρὰ γὰρ τὴν τούτων γνῶσιν ἢ ἄγνοιαν οὐδὲν εἰς τὴν ποιητικὴν ἐπιτίμημα φέρεται, ὅ τι καὶ ἄξιον σπουδῆς 56 b 14.

ποικιλία (ἡ), variété, diversité : λίαν γὰρ ἂν μέγας καὶ οὐκ εὐσύνοπτος ἔμελλεν ἔσεσθαι ὁ μῦθος ἢ τῷ μεγέθει μετριάζοντα καταπεπλεγμένον [sc. πόλεμον] τῇ **ποικιλίᾳ** 59 a 34.

ποῖος, α, ον, quel? de quelle sorte? de quelle nature? : τῷ **ποίῳ** τὰ ποῖ' ἄττα συμβαίνει 51 b 8* ; **ποίαν** τινὰ δεῖ τὴν σύστασιν εἶναι 50 b 22 ; **ποῖα** 51 b 8 (*supra*) ; ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται 53 b 14* ; ἐκ πόσων καὶ **ποίων** ἐστὶ μορίων 47 a 11 ; ἐκ πόσων τε καὶ ποίων εἰδῶν ἐστιν 60 b 7 ; **ποίους** τινὰς εἶναι δεῖ τοὺς μύθους 54 a 14.

ποιός, ά, όν, d'une certaine espèce, de telle ou telle qualité : καθ' ἃ **ποιά**

τις ἐστὶν ἡ τραγῳδία 50 a 8 ; εἰσὶ δὲ κατὰ μὲν τὰ ἤθη **ποιοί** τινες 50 a 19 ; **ποιούς** τινας εἶναι 49 b 37 ; 50 a 5 ; καὶ τὰς πράξεις εἶναί φαμεν **ποιάς** τινας 50 a 1.

ποιότης (ἡ), qualité, manière d'être : καὶ τὸ τέλος πρᾶξίς τις ἐστίν, οὐ ποιότης 50 a 19.

πόλεμος (ὁ), guerre : καὶ ταύτῃ θεσπέσιος ἂν φανείη Ὅμηρος παρὰ τοὺς ἄλλους, τῷ μηδὲ τὸν **πόλεμον** καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον 59 a 31.

πόλις (ἡ), cité, État : ἐπεκτεταμένον μὲν οἷον τὸ **πόλεως** « **πόληος** » 58 a 4* ; τὰ φαλλικά, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν **πόλεων** διαμένει νομιζόμενα 49 a 12.

πολιτικός, ή, όν, qui concerne l'État, politique : **ἡ πολιτική**, la science politique : τὸ λέγειν δύνασθαι τὰ ἐνόντα καὶ τὰ ἁρμόττοντα, ὅπερ ἐπὶ τῶν λόγων τῆς **πολιτικῆς** καὶ ῥητορικῆς ἔργον ἐστίν 50 b 6 ; οὐχ ἡ αὐτὴ ὀρθότης ἐστὶν τῆς πολιτικῆς καὶ τῆς ποιητικῆς 60 b 14.

πολιτικῶς, conformément à la vie politique : οἱ μὲν γὰρ ἀρχαῖοι [sc. ποιηταὶ] πολιτικῶς ἐποίουν λέγοντας, οἱ δὲ νῦν ῥητορικῶς 50 b 7.

πολλάκις, souvent : πολλάκις διαστρέφειν ἀναγκάζονται τὸ ἐφεξῆς 52 a 1 ; καὶ γὰρ κατὰ ταῦτα ἔστιν ἁμαρτάνειν πολλάκις 54 b 17 ; τὰ μὲν ἔξωθεν καὶ ἔνια τῶν ἔσωθεν πολλάκις ἡ δέσις 55 b 25 ; ὅπερ εἴρηται πολλάκις 56 a 11.

πολλαπλοῦς, ῆ, οῦν, multiple : εἴη δ' ἂν καὶ τριπλοῦν καὶ τετραπλοῦν ὄνομα καὶ **πολλαπλοῦν**, οἷον πολλὰ τῶν Μασσαλιωτῶν · Ἑρμοκαϊκόξανθος 57 a 36.

Πολύγνωτος (ὁ), Polygnote, peintre : ὥσπερ οἱ γραφεῖς · Πολύγνωτος μὲν γὰρ κρείττους, Παύσων δὲ χείρους, Διονύσιος δὲ ὁμοίους εἴκαζεν 48 a 5 ; οἷον καὶ τῶν γραφέων Ζεῦξις πρὸς **Πολύγνωτον** πέπονθεν · ὁ μὲν γὰρ Πολύγνωτος ἀγαθὸς ἠθογράφος, ἡ δὲ Ζεύξιδος γραφὴ οὐδὲν ἔχει ἦθος 50 a 27*.

Πολύϊδος (ὁ), Polyidos, poète & sophiste : εἴθ' ὡς Εὐριπίδης, εἴθ' ὡς Πολύϊδος ἐποίησεν, κατὰ τὸ εἰκὸς εἰπὼν ὅτι οὐκ ἄρα μόνον τὴν ἀδελφήν, ἀλλὰ καὶ αὐτὸν ἔδει τυθῆναι 55 b 10 ; καὶ ἡ **Πολυΐδου** τοῦ σοφιστοῦ περὶ τῆς Ἰφιγενείας [sc. ἀναγνώρισις] · εἰκὸς γὰρ τὸν Ὀρέστην συλλογίσασθαι ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι 55 a 6 (*var.* Πολυείδους). — Voir Nauck, p. 781 & Snell, I, p. 248-249.

πολυμερής, ής, ές, qui a de multiples parties : οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν **πολυμερῆ**, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν Ἰλιάδα 59 b 1.

πολύμυθος, ος, ον, qui présente beaucoup de récits ou beaucoup de mythes : ἐποποιϊκὸν δὲ λέγω τὸ **πολύμυθον** 56 a 12.

πολύς, πολλή, πολύ, nombreux, considérable ; **πολύ**, beaucoup ; **οἱ πολλοί**, la plupart ; **τὰ πολλά**, d'ordinaire :

ὡς ἐπὶ τὸ πολύ, dans le cas le plus fréquent, selon la plus grande probabilité ou la vraisemblance : ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολὺ 50 b 31 ;

πολύ (nom. & acc.) 49 a 29 (πολὺ γὰρ ἂν ἴσως ἔργον εἴη) ; 50 a 31 (ἀλλὰ πολὺ μᾶλλον) ; 50 b 31 (*supra*) ; 52 a 21 (διαφέρει γὰρ πολύ) ; 56 a 15 (πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει) ; 57 b 12 (τὸ γὰρ μυρίον πολύ ἐστιν) ; 59 a 5 (πολὺ δὲ μέγιστον) ; 59 b 23 (πολύ τι) ; 61 a 20 (τὸ γὰρ πᾶν πολύ τι) ;

πολλοῦ 57 b 13 (ᾧ νῦν ἀντὶ τοῦ πολλοῦ κέχρηται) ;

πολλῷ 62 b 1 (πολλῷ κεκραμένον τῷ χρόνῳ) ;

πολλῷ 48 a 33 (πολλῷ πρότερος ὤν) ;

πολλήν 61 b 30 (πολλὴν κίνησιν κινοῦνται) ;

πολλοί 47 a 27 *var.* (οἱ ⟨πολλοὶ⟩ τῶν ὀρχηστῶν) ; 50 a 26 (ποιηταὶ πολ-

λοὶ τοιοῦτοι) ; 56 a 9 (πολλοὶ δὲ πλέξαντες εὖ) ; 59 a 29 (σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν) ; 61 a 19 (τὸ γὰρ πάντες ἀντὶ τοῦ πολλοί) ;
πολλαί 51 a 18 (πράξεις ἑνὸς πολλαί εἰσιν) ; 53 a 25 (πολλαὶ αὐτοῦ [sc. τραγῳδίαι] εἰς δυστυχίαν τελευτῶσιν) ; 59 b 4 (ἐκ δὲ Κυπρίων πολλαί [sc. τραγῳδίαι]) ;
πολλά (nom. & acc.) 47 a 19 (πολλὰ μιμοῦνταί τινες) ; 51 a 17 (πολλὰ γὰρ καὶ ἄπειρα) ; 54 a 9 (οὐ περὶ πολλὰ γένη) ; 55 b 18 (ἔτη πολλά) ; 56 a 24 (πολλὰ καὶ παρὰ τὸ εἰκός) ; 57 a 36 (τὰ πολλὰ τῶν Μασσαλιωτῶν) ; 59 b 25 (πολλὰ μέρη) & 27 (*id.*) ; 60 a 5 (πολλὰ ἄξιος ἐπαινεῖσθαι) ; 60 b 12 (πολλὰ πάθη τῆς λέξεως) ; 62 b 8 (πολλὰ τοιαῦτα μέρη) ;
πολλοῖς 56 a 28 (τοῖς δὲ πολλοῖς [sc. ποιηταῖς]) ;
πολλαῖς 49 a 12 (ἐν πολλαῖς τῶν πόλεων) ;
πολλοῖς 57 a 20 (κατὰ τὸ ἑνὶ ἢ πολλοῖς) ; 59 a 35 (ἐπεισοδίοις... πολλοῖς) ; 59 b 33 (ἐν πολλοῖς [sc. μέτροις]) ;
πολλούς 48 b 29 (εἰκὸς δὲ εἶναι πολλούς [sc. ποιητάς]) ;
πολλάς 49 a 14 (πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο). — Voir πλεῖστος, πλείων.

πονηρία (ἡ), perversité, méchanceté : ἔστι δὲ παράδειγμα **πονηρίας** μὲν ἤθους μὴ ἀναγκαίου οἷον ὁ Μενέλαος ὁ ἐν τῷ 'Ορέστῃ 54 a 28 ; ἔστι δὲ τοῦτο ὅταν ὁ σοφὸς μὲν μετὰ πονηρίας δὲ ἐξαπατηθῇ, ὥσπερ Σίσυφος 56 a 22 ; ὅταν... χρήσηται τῷ ἀλόγῳ... ἢ τῇ **πονηρίᾳ**, ὥσπερ ἐν 'Ορέστῃ ⟨τῇ⟩ τοῦ Μενελάου 61 b 21.

πονηρός, ά, όν, mauvais, pervers : οὐδ' αὖ τὸν σφόδρα **πονηρὸν** ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπίπτειν 53 a 1.

ποσαχῶς, de combien de sortes : ἐπισκοπεῖν ποσαχῶς ἂν σημήνειε τοῦτο ἐν τῷ εἰρημένῳ, οἷον... τῷ ταύτῃ κωλυθῆναι ποσαχῶς ἐνδέχεται 61 a 32 & 34.

Ποσειδῶν (ὁ), Poséidon : ἀποδημοῦντός τινος ἔτη πολλὰ καὶ παραφυλαττομένου ὑπὸ τοῦ **Ποσειδῶνος** καὶ μόνου ὄντος 55 b 18.

πόσος, η, ον, combien grand? combien nombreux? : κατὰ δὲ τὸ **πόσον** καὶ εἰς ἃ διαιρεῖται 52 b 15 & 26 ; καὶ **πόσα** καὶ τί διαφέρει 62 b 16 ; καὶ **πόσαι** καὶ τίνες τῆς μιμήσεως [sc. αἱ διαφοραί] 48 b 2 ; ἔτι δὲ ἐκ **πόσων** καὶ ποίων ἐστὶ μορίων 47 a 10 ; ἐκ πόσων τε καὶ ποίων εἰδῶν ἐστιν 60 b 6.

πότε, quand? à quel moment? : τὸ μὲν γὰρ « ἄνθρωπος » ἢ « λευκὸν » οὐ σημαίνει τὸ πότε 57 a 17.

ποτε, une fois, un jour, naguère : καὶ γὰρ χορὸν κωμῳδῶν ὀψέ ποτε ὁ ἄρχων ἔδωκεν 49 b 2 ; ὥσπερ ποτὲ καὶ ἄλλοτέ φασιν 51 a 9 ; οὕτω τε καὶ ὅτι ποτὲ οὐκ ἄλογόν ἐστιν 61 b 14.

πότερος, α, ον, lequel des deux? : **πότερον** δὲ βελτίων ἡ ἐποποιϊκὴ μίμησις ἢ ἡ τραγική, διαπορήσειεν ἄν τις 61 b 26 ; ἔτι **ποτέρων** ἐστὶ τὸ ἁμάρτημα, τῶν κατὰ τὴν τέχνην ἢ κατ' ἄλλο συμβεβηκός ; 60 b 30.

πούς (ὁ), pied : Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε · « φαγέδαινα ⟨δ'⟩ ἥ μου σάρκας ἐσθίει **ποδός** » 58 b 23 (Eschyle : Nauck, *fr.* 253, p. 81 & Mette, *fr.* 397, p. 147-148).

πρᾶγμα (τὸ), affaire, fait en question, sujet traité : ἔτι δ' ἐπεὶ τὸ καλὸν καὶ ζῷον καὶ ἅπαν πρᾶγμα ὃ συνέστηκεν ἐκ τινῶν 50 b 36 ; ὁ δὲ κατ' αὐτὴν τὴν φύσιν τοῦ **πράγματος** ὅρος 51 a 10 ; ὥστε τὰ **πράγματα** καὶ ὁ μῦθος τέλος τῆς τραγῳδίας 50 a 22 ; οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι 50 a 37 ; ὁμοίως γὰρ ἐν τούτῳ τά τε πράγματα καὶ τὰ ὀνόματα πεποίηται, καὶ οὐδὲν ἧττον εὐφραίνει 51 b 22 ; ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν συμβαινόντων 53 b 5 ; ἔστι δὲ τῆς μὲν πράξεως

ὁ μῦθος ἡ μίμησις · λέγω γὰρ μῦθον τοῦτον τὴν σύνθεσιν τῶν **πραγμάτων** 50 a 5 ; μέγιστον δὲ τούτων ἐστὶν ἡ τῶν πραγμάτων σύστασις 50 a 15 ; τραγῳδία ἔχουσα δὲ μῦθον καὶ σύστασιν πραγμάτων 50 a 32 ; λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων 50 b 23 ; καὶ τὰ μέρη συνεστάναι τῶν πραγμάτων οὕτως ὥστε μετατιθεμένου τινὸς μέρους ἢ ἀφαιρουμένου διαφέρεσθαι καὶ κινεῖσθαι τὸ ὅλον 51 a 33 ; ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι, ἔστι δὲ καὶ ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων 53 b 2 ; περὶ μὲν οὖν τῆς τῶν πραγμάτων συστάσεως... εἴρηται ἱκανῶς 54 a 14 ; χρὴ δὲ καὶ ἐν τοῖς ἤθεσιν, ὥσπερ καὶ ἐν τῇ τῶν πραγμάτων συστάσει, ἀεὶ ζητεῖν ἢ τὸ ἀναγκαῖον ἢ τὸ εἰκός 54 a 34 ; πασῶν δὲ βελτίστη ἀναγνώρισις ἡ ἐξ αὐτῶν τῶν πραγμάτων 55 a 18 ; φανερὸν ὡς τοῦτο ἐν τοῖς **πράγμασιν** ἐμποιητέον 53 b 13 ; ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασιν, εἰ δὲ μή, ἔξω τῆς τραγῳδίας 54 b 6 ; ἐν δὲ ταῖς περιπετείαις καὶ ἐν τοῖς ἁπλοῖς πράγμασι στοχάζονται ὧν βούλονται θαυμαστῶς [sc. οἱ ποιηταί] 56 a 20 ; δῆλον δὲ ὅτι καὶ ἐν τοῖς πράγμασιν ἀπὸ τῶν αὐτῶν ἰδεῶν δεῖ χρῆσθαι 56 b 2.

πρακτικός, ή, όν, qui convient à l'action : τὸ δὲ ἰαμβεῖον καὶ τετράμετρον κινητικά, καὶ τὸ μὲν ὀρχηστικόν, τὸ δὲ **πρακτικόν** 60 a 1.

πρᾶξις (ἡ), action, acte, accomplissement : ⟨ἡ δὲ εὐδαιμονία⟩ καὶ ἡ κακοδαιμονία ἐν πράξει ἐστί, καὶ τὸ τέλος πρᾶξίς τις ἐστίν, οὐ ποιότης 50 a 18* ; οὕτω δὲ καὶ πράξεις ἑνὸς πολλαί εἰσιν, ἐξ ὧν μία οὐδεμία γίνεται πρᾶξις 51 a 18 & 19 ; πάθος δ' ἐστὶ πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά 52 b 11 ; ἕξει δὲ ἦθος μὲν ἐὰν ὥσπερ ἐλέχθη ποιῇ φανερὸν ὁ λόγος ἢ ἡ πρᾶξις προαίρεσίν τινα 54 a 18 ; ἔστιν οὖν τραγῳδία μίμησις **πράξεως** σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, κ. τ. α. 49 b 24 ; ἐπεὶ δὲ πράξεώς ἐστι μίμησις, πράττεται δὲ ὑπὸ τινῶν πραττόντων 49 b 36 ; ἔστι δὲ τῆς μὲν πράξεως ὁ μῦθος ἡ μίμησις 50 a 4 ; ἡ γὰρ τραγῳδία μίμησίς ἐστιν οὐκ ἀνθρώπων, ἀλλὰ πράξεως καὶ βίου καὶ εὐδαιμονίας καὶ κακοδαιμονίας 50 a 16 ; ἔτι ἄνευ μὲν πράξεως οὐκ ἂν γένοιτο τραγῳδία, ἄνευ δὲ ἠθῶν γένοιτ' ἄν 50 a 24 ; ἔστι τε μίμησις πράξεως, καὶ διὰ ταύτην μάλιστα τῶν πραττόντων 50 b 3 ; κεῖται δ' ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος 50 b 25 ; οὕτω καὶ τὸν μῦθον, ἐπεὶ πράξεως μίμησίς ἐστι, μιᾶς τε εἶναι καὶ ταύτης ὅλης 51 a 31 ; ἐπεὶ δὲ οὐ μόνον τελείας ἐστὶ πράξεως ἡ μίμησις, ἀλλὰ καὶ φοβερῶν καὶ ἐλεεινῶν 52 a 2 ; ἀλλ' ἡ μάλιστα τοῦ μύθου [sc. ἀναγνώρισις] καὶ ἡ μάλιστα τῆς πράξεως ἡ εἰρημένη ἐστίν 52 a 37 ; καὶ μὴ ὁμοίας ἱστορίαις τὰς συνθέσεις εἶναι, ἐν αἷς ἀνάγκη οὐχὶ μιᾶς πράξεως ποιεῖσθαι δήλωσιν, ἀλλ' ἑνὸς χρόνου 59 a 22 ; καίτοι ταῦτα τὰ ποιήματα συνέστηκεν ὡς ἐνδέχεται ἄριστα, καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις 62 b 11 ; ἐν **πράξει** 50 a 18 (*supra*) ; ἀλλὰ περὶ μίαν **πρᾶξιν**, οἵαν λέγομεν, τὴν 'Οδύσσειαν συνέστησεν 51 a 28 ; λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν ἧς γινομένης, ὥσπερ ὥρισται, συνεχοῦς καὶ μιᾶς, ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται 52 a 14 ; ἔστι μὲν γὰρ οὕτω γίνεσθαι τὴν πρᾶξιν ὥσπερ οἱ παλαιοὶ ἐποίουν, εἰδότας καὶ γινώσκοντας 53 b 27 ; δεῖ τοὺς μύθους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικούς, καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ μέσα καὶ τέλος 59 a 19 ; οἱ δ' ἄλλοι περὶ ἕνα ποιοῦσι καὶ περὶ ἕνα χρόνον, καὶ μίαν πρᾶξιν πολυμερῆ, οἷον ὁ τὰ Κύπρια ποιήσας καὶ τὴν μικρὰν 'Ιλιάδα 59 b 1 ; οὕτω δὲ καὶ **πράξεις** ἑνὸς πολλαί εἰσιν 51 a 18 (*supra*) ; καὶ γὰρ αἱ πράξεις, ὧν μιμήσεις οἱ μῦθοί εἰσιν, ὑπάρχουσιν εὐθὺς οὖσαι τοιαῦται [sc. αἱ μὲν ἁπλαῖ, αἱ δὲ πεπλεγμέναι] 52 a 13 ; πέφυκεν αἴτια δύο τῶν **πράξεων** εἶναι, διάνοιαν καὶ ἦθος 50 a 2 ; τῶν δὲ ἁπλῶν μύθων καὶ πράξεων αἱ ἐπεισοδιώδεις εἰσὶ χείρισται 51 b 33 ; ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον,

οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται 52 b 1 ; λέγω δὲ οἷον ἐὰν ἐκ πλειόνων πράξεων ᾖ συγκειμένη, ὥσπερ ἡ Ἰλιὰς ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ Ὀδύσσεια 62 b 8 ; καὶ γὰρ οὗτοι διὰ τῶν σχηματιζομένων ῥυθμῶν μιμοῦνται καὶ ἤθη καὶ πάθη καὶ **πράξεις** 47 a 28 ; οἱ μὲν γὰρ σεμνότεροι τὰς καλὰς ἐμιμοῦντο πράξεις καὶ τὰς τῶν τοιούτων, οἱ δὲ εὐτελέστεροι τὰς τῶν φαύλων 48 b 25 ; διὰ γὰρ τούτων καὶ τὰς πράξεις εἶναί φαμεν ποιάς τινας 50 a 1 ; εἰσὶ δὲ κατὰ μὲν τὰ ἤθη ποιοί τινες, κατὰ δὲ τὰς πράξεις εὐδαίμονες ἢ τοὐναντίον 50 a 20 ; ἀλλὰ τὰ ἤθη συμπεριλαμβάνουσι διὰ τὰς πράξεις 50 a 22 ; ὅσῳ ποιητὴς κατὰ τὴν μίμησίν ἐστι, μιμεῖται δὲ τὰς πράξεις 51 b 29 ; ἀνάγκη δὴ ἢ φίλων εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις ἢ ἐχθρῶν ἢ μηδετέρων 53 b 16.

πράττειν, faire, agir, accomplir, pratiquer : καὶ τὸ ποιεῖν αὐτοὶ μὲν [sc. οἱ Πελοποννήσιοι] δρᾶν, Ἀθηναίους δὲ πράττειν προσαγορεύειν 48 b 1 ; ἔστι δὲ καθόλου μέν, τῷ ποίῳ τὰ ποῖα ἄττα συμβαίνει λέγειν ἢ πράττειν κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον 51 b 9 ; ὥστε τὸν τοιοῦτον τὰ τοιαῦτα λέγειν ἢ πράττειν ἢ ἀναγκαῖον ἢ εἰκός 54 a 35 ; περὶ μὲν οὖν τραγῳδίας καὶ τῆς ἐν τῷ πράττειν μιμήσεως ἔστω ἡμῖν ἱκανὰ τὰ εἰρημένα 59 a 15 ; οὔκουν ὅπως τὰ ἤθη μιμήσωνται **πράττουσιν**, ἀλλὰ τὰ ἤθη συμπεριλαμβάνουσι διὰ τὰς πράξεις 50 a 21 ; δι' ὃ συμβαίνει μάλιστα τὸ θαυμαστόν, διὰ τὸ μὴ ὁρᾶν εἰς τὸν **πράττοντα** 60 a 14 ; οὐ μόνον σκεπτέον εἰς αὐτὸ τὸ πεπραγμένον ἢ εἰρημένον... ἀλλὰ καὶ εἰς τὸν πράττοντα ἢ λέγοντα, πρὸς ὃν ἢ ὅτε ἢ ὅτῳ ἢ οὗ ἕνεκεν 61 a 6 & 7 ; ἐπεὶ δὲ **πράττοντες** ποιοῦνται τὴν μίμησιν 49 b 31 ; ἐπεὶ δὲ πράξεώς ἐστι μίμησις, πράττεται δὲ ὑπὸ τινῶν **πραττόντων**, οὓς ἀνάγκη ποιούς τινας εἶναι 49 b 36 & 37 ; ἔστι τε μίμησις πράξεως, καὶ διὰ ταύτην μάλιστα τῶν πραττόντων 50 b 4 ; ἐπεὶ δὲ μιμοῦνται οἱ μιμούμενοι **πράττοντας**, ἀνάγκη δὲ τούτους ἢ σπουδαίους ἢ φαύλους εἶναι 48 a 1 ; ἢ πάντας ὡς πράττοντας καὶ ἐνεργοῦντας τοὺς μιμουμένους 48 a 23 ; πράττοντας γὰρ μιμοῦνται καὶ δρῶντας ἄμφω 48 a 27 ; τὰ δὲ ἤθη, καθ' ὃ ποιούς τινας εἶναί φαμεν τοὺς πράττοντας 50 a 6 ; πράττοντας ποιοῦσιν 50 a 21 *var.* (πράττουσιν edd.) ; ἔστι δὲ **πρᾶξαι** μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν 53 b 30* ; ἢ γὰρ πρᾶξαι ἀνάγκη ἢ μή, καὶ εἰδότας ἢ μὴ εἰδότας. Τούτων δὲ τὸ μὲν γινώσκοντα μελλῆσαι καὶ μὴ πρᾶξαι χείριστον 53 b 36 & 38 ; τὸ δὲ πρᾶξαι δεύτερον. Βέλτιον δὲ τὸ ἀγνοοῦντα μὲν πρᾶξαι, πράξαντα δὲ ἀναγνωρίσαι 54 a 2 & 3* ; τὸ δὲ καθ' ἕκαστον, τί Ἀλκιβιάδης **ἔπραξεν** ἢ τί ἔπαθεν 51 b 11 ; **πράξαντα** 54 a 3 (*supra*) ; καὶ εἰ **πέπραγέ** τις ἢ μὴ πέπραγεν ἔστιν ἀναγνωρίσαι 52 a 35 & 36 ; **πράττεται** δὲ ὑπὸ τινῶν πραττόντων 49 b 36 & 37 (*supra*) ; ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα **πραττόμενα** πολλὰ μέρη μιμεῖσθαι 59 b 24 ; ἔστι δὲ περιπέτεια μὲν ἡ εἰς τὸ ἐναντίον τῶν **πραττομένων** μεταβολή 52 a 22 ; ὥσπερ παρ' αὐτοῖς γιγνόμενος τοῖς **πραττομένοις** 55 a 26 ; περὶ δὲ τοῦ καλῶς ἢ μὴ καλῶς ἢ εἴρηταί τινι ἢ **πέπρακται**, οὐ μόνον σκεπτέον εἰς αὐτὸ τὸ **πεπραγμένον** ἢ εἰρημένον βλέποντα εἰ σπουδαῖον ἢ φαῦλον, ἀλλὰ καὶ εἰς τὸν πράττοντα ἢ λέγοντα 61 a 5, 6 & 7 ; τὸν μὲν συνέβη ἐκ τῶν **πεπραγμένων** ἀποθανεῖν, τὸν δὲ σωθῆναι 52 a 29. — Voir δρᾶν, ποιεῖν.

πρέπειν, convenir, être convenable : οὕτω γὰρ ἂν ἐναργέστατα ὁρῶν ... εὑρίσκοι τὸ **πρέπον**, καὶ ἥκιστ' ἂν λανθάνοιτο τὰ ὑπεναντία 55 a 26 ; ἐκεῖ μὲν γὰρ διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν ὑπόληψιν ἀποβαίνει 56 a 14.

πρεπόντως, convenablement : ἔστι δὲ μέγα μὲν τὸ ἑκάστῳ τῶν εἰρημένων πρεπόντως χρῆσθαι 59 a 4.

πρίν, avant de, avant que : ἀναγνωρίσαι πρὶν ποιῆσαι 53 b 35 ; τὰ δὲ διαι-

ρέσει, οἷον Ἐμπεδοκλῆς « αἶψα δὲ θνήτ' ἐφύοντο, τὰ πρὶν μάθον ἀθάνατ' εἶναι, ζωρά τε πρὶν κέκρητο » 61 a 25* (Empédocle, *fr.* B 35, 15, D-K, I, p. 327).

πρό, devant, avant, pour, en faveur de (avec le génitif) : τῶν μὲν οὖν πρὸ Ὁμήρου 48 b 28 ; τὸ πρὸ χοροῦ παρόδου 52 b 19 ; ἢ ὅσα πρὸ τοῦ γέγονεν 54 b 3 ; πρὸ ὀμμάτων τιθέμενον 55 a 24.

προάγειν, conduire en avant, faire avancer : ἐξ ἀρχῆς οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα κατὰ μικρὸν **προάγοντες** ἐγέννησαν τὴν ποίησιν ἐκ τῶν αὐτοσχεδιασμάτων 48 b 23 ; κατὰ μικρὸν ηὐξήθη [sc. ἡ τραγῳδία], **προαγόντων** ὅσον ἐγίγνετο φανερὸν αὐτῆς 49 a 13.

προαγόρευσις (ἡ), prédiction : ἢ ὅσα πρὸ τοῦ γέγονεν, ἃ οὐχ οἷόν τε ἄνθρωπον εἰδέναι, ἢ ὅσα ὕστερον, ἃ δεῖται **προαγορεύσεως** καὶ ἀγγελίας 54 b 5.

προαιρεῖσθαι, choisir (après réflexion), préférer : προαιρεῖσθαί τε δεῖ ἀδύνατα εἰκότα μᾶλλον ἢ δυνατὰ ἀπίθανα 60 a 26 ; ἔστι δὲ ἦθος μὲν τὸ τοιοῦτον ὃ δηλοῖ τὴν προαίρεσιν, ὁποῖά τις, ἐν οἷς οὐκ ἔστι δῆλον, ἢ **προαιρεῖται** ἢ φεύγει · διόπερ οὐκ ἔχουσιν ἦθος τῶν λόγων ἐν οἷς μηδ' ὅλως ἔστιν ὅ τι προαιρεῖται ἢ φεύγει ὁ λέγων 50 b 9 & 11 ; εἰ δὲ τῷ **προελέσθαι** μὴ ὀρθῶς 60 b 18 ; εἰ μὲν γάρ ⟨τι⟩ **προείλετο** μιμήσασθαι 60 b 17.

προαίρεσις (ἡ), intention, choix raisonné : ἔστι δὲ ἦθος μὲν τὸ τοιοῦτον ὃ δηλοῖ τὴν **προαίρεσιν**, ὁποῖά τις 50 b 9 (voir le précédent) ; ἐάν... ποιῇ φανερὸν ὁ λόγος ἢ ἡ πρᾶξις προαίρεσίν τινα 54 a 18.

προβάλλειν, jeter en avant : ἀλλὰ τὸν ἵππον ⟨ἅμ'⟩ ἄμφω τὰ δεξιὰ **προβεβληκότα** 60 b 19.

πρόβλημα (τὸ), difficulté, problème : διαμάρτημα δὲ τὸ πρόβλημα εἰκός ἐστιν 61 b 9 ; περὶ δὲ **προβλημάτων** καὶ λύσεων, ἐκ πόσων τε καὶ ποίων εἰδῶν ἐστιν, ὧδ' ἂν θεωροῦσι γένοιτ' ἂν φανερόν 60 b 6 ; ὥστε δεῖ τὰ ἐπιτιμήματα ἐν τοῖς **προβλήμασιν** ἐκ τούτων ἐπισκοποῦντα λύειν 60 b 22.

προγίγνεσθαι, se produire auparavant : ὥστε ἐκ τῶν **προγεγενημένων** συμβαίνειν ἢ ἐξ ἀνάγκης ἢ κατὰ τὸ εἰκὸς γίνεσθαι ταῦτα 52 a 19.

προειπεῖν, dire auparavant : ὡς **προείρηται** 54 a 25 *var.* (ὥσπερ εἴρηται *ed.*).

πρόλογος (ὁ), prologue (d'un drame) : μέρη δὲ τραγῳδίας... πρόλογος, ἐπεισόδιον, ἔξοδος, χορικόν, καὶ τούτου τὸ μὲν πάροδος, τὸ δὲ στάσιμον 52 b 16 ; ἔστι δὲ πρόλογος μὲν μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ παρόδου 52 b 19 ; τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ **προλόγους** ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται 49 b 4.

Προμηθεύς (ὁ), *Prométhée*, trilogie d'Eschyle : τὸ δὲ τερατῶδες... οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν Ἅιδου 56 a 2.

προορᾶν, prévoir : ἐπεὶ ἐὰν μὴ τύχῃ **προεωρακώς**, οὐχ ᾗ μίμημα ποιήσει τὴν ἡδονήν, ἀλλὰ διὰ τὴν ἀπεργασίαν ἢ τὴν χροιὰν ἢ διὰ τοιαύτην τινὰ ἄλλην αἰτίαν 48 b 17.

προπράττειν, accomplir auparavant : ὥσπερ ἐν τῷ Λυγκεῖ τῷ Θεοδέκτου δέσις μὲν τά τε **προπεπραγμένα** καὶ ἡ τοῦ παιδίου λῆψις 55 b 30.

πρὸς, πρός, vers, à, en direction de, en vue de, par rapport à, etc. :

1° **avec le datif** : **πρὸς [δὲ] τούτοις** 50 a 33 ; 54 b 15 ; 59 b 16 ; 60 b 13 & 32 ;

2° **avec l'accusatif** : 48 a 17 (πρὸς τὴν κωμῳδίαν) ; 48 b 22 (οἱ πεφυκότες πρὸς αὐτὰ μάλιστα) ; 49 a 1* (πρὸς τὰς τραγῳδίας... πρὸς τὰς κωμῳδίας), 8 (πρὸς τὰ θέατρα) & 26 (πρὸς ἀλλήλους) ; 50 a 27 (πρὸς

Πολύγνωτον) ; 51 a 6 (πρὸς τοὺς ἀγῶνας) & 8 (πρὸς κλεψύδρας) ; 52 a 26 (πρὸς τὴν μητέρα), 31 (πρὸς εὐτυχίαν) & 34 (πρὸς ἄψυχα) ; 52 b 4 (πρὸς τὸν ἕτερον) & 7 (πρὸς τὴν 'Ιφιγένειαν) ; 53 b 15 (πρὸς ἀλλήλους) ; 57 b 17-18 (τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον), 20* (πρὸς ὅ ἐστιν... πρὸς Διόνυσον), 21 (πρὸς ῎Αρην), 23* (πρὸς βίον... πρὸς ἡμέραν), 28 (πρὸς τὸν ἥλιον) & 29 (πρὸς τὸν καρπόν) ; 59 a 24 (πρὸς ἄλληλα) & 27 (πρὸς τὸ αὐτὸ... τέλος) ; 59 b 21 (πρὸς δὲ τὸ πλῆθος) & 22 (πρὸς τὸ ἐπεκτείνεσθαι) ; 60 b 23 (τὰ πρὸς αὐτὴν τὴν τέχνην) ; 61 a 7 (πρὸς ὅν) & 9 (πρὸς τὴν λέξιν) ; 61 b 9-10* (πρὸς τὴν ποίησιν ἢ πρὸς τὸ βέλτιον ἢ πρὸς τὴν δόξαν), 11 (πρός τε γὰρ τὴν ποίησιν), 14 (πρὸς δ' ἅ φασι τἄλογα), 17 (πρὸς τὸ αὐτὸ), 18 (πρὸς ἅ) & 28 (πρὸς βελτίους θεατάς) ; 62 a 1*, 2 & 3 (πρὸς αὐτούς... πρὸς τὴν ἐποποιΐαν... πρὸς θεατάς... πρὸς φαύλους).

προσαγορεύειν, appeler, nommer : καὶ τὸ ποιεῖν αὐτοὶ μὲν [sc. οἱ Πελοποννήσιοι] δρᾶν, 'Αθηναίους δὲ πράττειν προσαγορεύειν 48 b 1 ; οὐχ ὡς κατὰ τὴν μίμησιν ποιητάς, ἀλλὰ κοινῇ κατὰ τὸ μέτρον **προσαγορεύοντες** 47 b 15 ; **προσαγορεύσαντα** τὸ ἀλλότριον, ἀποφῆσαι τῶν οἰκείων τι 57 b 31.

προσαγορευτέον, il faut appeler : καθάπερ Χαιρήμων ἐποίησε Κένταυρον μικτὴν ῥαψῳδίαν ἐξ ἁπάντων τῶν μέτρων, καὶ ποιητὴν προσαγορευτέον 47 b 23.

προσβολή (ἡ), rapprochement (des lèvres, dans la prononciation) : ἔστι δὲ φωνῆεν μὲν ⟨τὸ⟩ ἄνευ **προσβολῆς** ἔχον φωνὴν ἀκουστήν, ἡμίφωνον δὲ τὸ μετὰ προσβολῆς ἔχον φωνὴν ἀκουστήν, οἷον τὸ Σ καὶ τὸ Ρ, ἄφωνον δὲ τὸ μετὰ προσβολῆς καθ' αὑτὸ μὲν οὐδεμίαν ἔχον φωνήν 56 b 26, 27 & 28.

προσεῖναι, s'ajouter, être en plus : τό τε γὰρ μιαρὸν οὐ **πρόσεστι,** καὶ ἡ ἀναγνώρισις ἐκπληκτικόν 54 a 4 ; ὃ γὰρ **προσὸν** ἢ μὴ προσὸν μηδὲν ποιεῖ ἐπίδηλον, οὐδὲν μόριον τοῦ ὅλου ἐστίν 51 a 34 & 35.

προσήκειν, convenir : οἴονται γὰρ ἐπεὶ εἷς ἦν ὁ 'Ηρακλῆς, ἕνα καὶ τὸν μῦθον εἶναι προσήκειν 51 a 22 ; περὶ ὧν καθ' ἕκαστον τοῖς μετρικοῖς **προσήκει** θεωρεῖν 56 b 34.

προσποιεῖσθαι, feindre, affecter : 'Οδύσσειαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ [sc. τῷ 'Οδυσσεῖ] συνέβη, οἷον πληγῆναι μὲν ἐν τῷ Παρνασσῷ, μανῆναι δὲ **προσποιήσασθαι** ἐν τῷ ἀγερμῷ 51 a 26.

προσσημαίνειν, signifier en outre : τὸ δὲ « βαδίζει » ἢ « βεβάδικε » **προσσημαίνει** τὸ μὲν τὸν παρόντα χρόνον, τὸ δὲ τὸν παρεληλυθότα 57 a 17. — Voir σημαίνειν.

προστιθέναι, ajouter : καὶ ἐνίοτε **προστιθέασιν** ἀνθ' οὗ λέγει πρὸς ὅ ἐστιν 57 b 19 ; πάντες γὰρ **προστιθέντες** ἀπαγγέλλουσιν ὡς χαριζόμενοι 60 a 18 ; διὸ δεῖ, ἂν τὸ πρῶτον ψεῦδος, ἄλλο δὲ τούτου ὄντος ἀνάγκη εἶναι ἢ γενέσθαι, **προσθεῖναι** 60 a 24 ; ὡς γὰρ οὐκ αἰσθανομένων, ἂν μὴ αὐτὸς **προσθῇ,** πολλὴν κίνησιν κινοῦνται 61 b 30.

προσῳδία (ἡ), accent tonique, manière d'accentuer un mot : κατὰ δὲ **προσῳδίαν**, ὥσπερ 'Ιππίας ἔλυεν ὁ Θάσιος τὸ... 61 a 22.

πρόσωπον (τὸ), masque (de théâtre), visage : οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης 49 a 35 ; καὶ τὸν Δόλωνα « ὅς ῥ' ἦ τοι εἶδος μὲν ἔην κακός », οὐ τὸ σῶμα ἀσύμμετρον, ἀλλὰ τὸ πρόσωπον αἰσχρόν 61 a 13 (*Iliade*, X, 316) ; τίς δὲ **πρόσωπα** ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται 49 b 4.

πρότερος, α, ον, premier (de deux) ; **πρότερον**, d'abord, auparavant, plus haut : ἐκεῖθεν γὰρ [sc. ἐκ Σικελίας] ἦν 'Επίχαρμος ὁ ποιητής, πολλῷ πρό-

τερος ὢν Χιωνίδου καὶ Μάγνητος 48 a 33 ; **πρότερον** δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι 50 a 35 ; ὥσπερ πρότερον εἴρηται 50 b 14 ; πρότερον εἴπομεν 52 b 15 & 26 ; ὅπερ ἐστὶ πρότερον καὶ ποιητοῦ ἀμείνονος 53 b 3 ; εἴρηται πρότερον 54 b 19 ; εἰ τὸ ὕστερόν ἐστι, καὶ τὸ πρότερον εἶναι ἢ γίνεσθαι 60 a 22 ; ὡς καὶ οἱ πρότερον τοὺς ὑστέρους αὐτῶν ᾤοντο ὑποκριτάς 61 b 33. — Voir πρῶτος, ὕστερος.

προϋπολαμβάνειν, présumer, avoir une idée préconçue : ὅτι ἔνιοι ἀλόγως **προϋπολαμβάνουσί** τι, καὶ αὐτοὶ καταψηφισάμενοι συλλογίζονται 61 b 1. — Voir ὑπολαμβάνειν.

Πρωταγόρας (ὁ) Protagoras : τί γὰρ ἄν τις ὑπολάβοι ἡμαρτῆσθαι ἃ Πρωταγόρας ἐπιτιμᾷ, ὅτι εὔχεσθαι οἰόμενος ἐπιτάττει εἰπών · « μῆνιν ἄειδε θεά » ; 56 b 15.

πρωταγωνιστής (ὁ), premier acteur, *protagoniste* : πρῶτος Αἰσχύλος ... τὰ τοῦ χοροῦ ἠλάττωσε, καὶ τὸν λόγον **πρωταγωνιστὴν** παρεσκεύασεν 49 a 18.

πρῶτος, η, ον, premier ; **πρῶτον**, d'abord : Ἡγήμων δὲ ὁ Θάσιος ⟨ὁ⟩ τὰς παρῳδίας ποιήσας πρῶτος 48 a 13 ; οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν [sc. ὁ Ὅμηρος] 48 b 37 ; καὶ τό τε τῶν ὑποκριτῶν πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε 49 a 16 ; τῶν δὲ Ἀθήνησιν Κράτης πρῶτος ἦρξεν ἀφέμενος τῆς ἰαμβικῆς ἰδέας καθόλου ποιεῖν λόγους καὶ μύθους 49 b 7 ; οἷς ἅπασιν Ὅμηρος κέχρηται καὶ πρῶτος καὶ ἱκανῶς 59 b 13 ; χορικοῦ δὲ πάροδος μὲν ἡ **πρώτη** λέξις ὅλη χοροῦ 52 b 22 ; δευτέρα δ' ἡ πρώτη λεγομένη [sc. τραγῳδία] ὑπό τινων ἐστιν σύστασις, ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα 53 a 30 ; δοκεῖ δὲ εἶναι πρώτη διὰ τὴν τῶν θεάτρων ἀσθένειαν 53 a 33 ; εἴδη δὲ ἀναγνωρίσεως, πρώτη μὲν ἡ ἀτεχνοτάτη 54 b 20 ; ἀρξάμενοι κατὰ φύσιν **πρῶτον** ἀπὸ τῶν πρώτων 47 a 12 & 13 ; πρῶτον ψόγους ποιοῦντες 48 b 27 ; τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο 49 a 22 ; καίτοι τὸ πρῶτον ὁμοίως ἐν ταῖς τραγῳδίαις... καὶ ἐν τοῖς ἔπεσιν 49 b 15 ; πρῶτον μὲν ἐξ ἀνάγκης 49 b 31 ; ἐπειδὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον τῆς τραγῳδίας ἐστίν 50 b 24 ; πρῶτον μὲν δῆλον ὅτι 52 b 34 ; πρῶτον μὲν γὰρ οἱ ποιηταὶ τοὺς τυχόντας μύθους ἀπηρίθμουν 53 a 17 ; ἓν μὲν καὶ πρῶτον ὅπως χρηστὰ ᾖ 54 a 17 ; τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον 57 b 17 ; ἂν τὸ πρῶτον ψεῦδος 60 a 23 ; τὸ πρῶτον ὡς ὄν 60 a 25 ; πρῶτον μὲν τὰ πρὸς αὐτὴν τὴν τέχνην 60 b 23 ; « οὐρῆας μὲν πρῶτον » 61 a 10 (*Iliade*, I, 50) ; πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία 62 a 4 ; **πρώτου** ἄρξαντος Ἀγάθωνος 56 a 29 ; οἷον καὶ οἱ **πρῶτοι** ποιηταὶ σχεδὸν ἅπαντες 50 a 37 ; ἀπὸ τῶν **πρώτων** 47 a 13 (*supra*) ; καὶ τὰς μαθήσεις ποιεῖται [sc. ὁ ἄνθρωπος] διὰ μιμήσεως τὰς **πρώτας** 48 b 8. — Voir πρότερος, ὕστερος.

πτῶσις (ἡ), cas (forme de la déclinaison) : τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 21 ; πτῶσις δ' ἐστὶν ὀνόματος ἢ ῥήματος, ἡ μὲν κατὰ τὸ « τούτου » ἢ « τούτῳ » σημαῖνον καὶ ὅσα τοιαῦτα, ἡ δὲ κατὰ τὸ ἑνὶ ἢ πολλοῖς, οἷον... 57 a 18 ; ἡ δὲ κατὰ τὰ ὑποκριτικά, οἷον κατ' ἐρώτησιν ἢ ἐπίταξιν · τὸ γὰρ « ἐβάδισεν ; » ἢ « βάδιζε » πτῶσις ῥήματος κατὰ ταῦτα τὰ εἴδη ἐστίν 57 a 22.

πτωχεία (ἡ), mendicité (la *mendicité d'Ulysse*, ou *Ulysse mendiant* : titre d'une tragédie inconnue par ailleurs) : καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ [sc. τραγῳδίαι], οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 6.

Πύθια (τὰ), les Jeux Pythiques : ὥσπερ ἐν Ἠλέκτρᾳ οἱ τὰ **Πύθια** ἀπαγγέλλοντες 60 a 31.

πῦρ (τὸ), feu : κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται, οἷον « ἄνδρ' εἶδον **πυρὶ** χαλκὸν ἐπ' ἀνέρι κολλήσαντα » 58 a 29 (énigme de Cléoboulina, citée aussi dans la *Rhétorique*, 1405 b 1).

πως, en quelque sorte, d'une certaine façon : δεῖ ἄρα κεκρᾶσθαί πως τούτοις 58 a 31 ; τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ γελοῖον 58 b 11.

πῶς, comment, de quelle façon : καὶ πῶς δεῖ συνίστασθαι τοὺς μύθους 47 a 9 ; ὥσπερ Οἰδίπους τὸ μὴ εἰδέναι πῶς ὁ Λάϊος ἀπέθανεν 60 a 30.

πῶϋ (τὸ), troupeau de moutons : εἰς δὲ τὸ Υ πέντε [sc. ὀνόματα τελευτᾷ] · τὸ πῶϋ, τὸ νᾶπυ, τὸ γόνυ, τὸ δόρυ, τὸ ἄστυ 58 a 17 *var.*

* * *

Ρ, la lettre *rhô* : ἡμίφωνον δὲ τὸ μετὰ προσβολῆς ἔχον φωνὴν ἀκουστήν, οἷον τὸ Σ καὶ τὸ Ρ 56 b 28 ; συλλαβὴ δ' ἐστὶ φωνὴ ἄσημος, συνθετὴ ἐξ ἀφώνου καὶ φωνὴν ἔχοντος · καὶ γὰρ τὸ ΓΡ ἄνευ τοῦ Α συλλαβή, καὶ μετὰ τοῦ Α, οἷον τὸ ΓΡΑ 56 b 36 & 37 ; ἄρρενα μὲν [sc. ὀνόματα] ὅσα τελευτᾷ εἰς τὸ Ν καὶ Ρ ⟨καὶ Σ⟩ 58 a 11.

ῥα, ῥ', certes : « ὅς ῥ' ἤ τοι εἶδος μὲν ἔην κακός » 61 a 12 (*Iliade*, X, 316) ; « πάντες μέν ῥα θεοί τε καὶ ἀνέρες εὗδον παννύχιοι » 61 a 17 (cf. *Iliade*, II, 1-2 & X, 1-2) ; « τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος » 61 a 33 (*Iliade*, XX, 272).

ῥᾴδιος, α, ον, facile : οἷον Εὐκλείδης ὁ ἀρχαῖος, ὡς **ῥᾴδιον** ποιεῖν, εἴ τις δώσει ἐκτείνειν ἐφ' ὁπόσον βούλεται 58 b 8.

ῥᾴθυμος, ος, ον, insouciant, lâche : οὕτω καὶ τὸν ποιητὴν μιμούμενον καὶ ὀργίλους καὶ **ῥᾳθύμους** καὶ τἄλλα τὰ τοιαῦτα ἔχοντας ἐπὶ τῶν ἠθῶν 54 b 12.

ῥαψῳδεῖν, être rhapsode, chanter des rhapsodies : ἐπεὶ ἔστι περιεργάζεσθαι τοῖς σημείοις καὶ **ῥαψῳδοῦντα**, ὅπερ Σωσίστρατος, καὶ διᾴδοντα, ὅπερ ἐποίει Μνασίθεος ὁ 'Οπούντιος 62 a 6.

ῥαψῳδία (ἡ), rhapsodie (poème composé de morceaux divers) : καθάπερ Χαιρήμων ἐποίησε Κένταυρον μικτὴν **ῥαψῳδίαν** ἐξ ἁπάντων τῶν μέτρων, καὶ ποιητὴν προσαγορευτέον 47 b 22.

ῥῆμα (τὸ), mot, parole, *verbe* (opp. à *nom*) : τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 21 ; ῥῆμα δὲ φωνὴ συνθετὴ σημαντική, μετὰ χρόνου, ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό, ὥσπερ καὶ ἐπὶ τῶν ὀνομάτων... τὸ δὲ « βαδίζει » ἢ « βεβάδικε » προσσημαίνει τὸ μὲν τὸν παρόντα χρόνον, τὸ δὲ τὸν παρεληλυθότα 57 a 14 ; πτῶσις δ' ἐστὶν ὀνόματος ἢ **ῥήματος** 57 a 19 ; τὸ γὰρ « ἐβάδισεν » ; ἢ « βάδιζε » πτῶσις ῥήματος 57 a 23 (voir πτῶσις) ; οὐ γὰρ ἅπας λόγος ἐκ **ῥημάτων** καὶ ὀνομάτων σύγκειται, οἷον ὁ τοῦ ἀνθρώπου ὁρισμός, ἀλλ' ἐνδέχεται ἄνευ ῥημάτων εἶναι λόγον · μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει 57 a 25 & 26.

ῥῆσις (ἡ), discours, tirade : τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος [sc. παράδειγμα] ὅ τε θρῆνος 'Οδυσσέως ἐν τῇ Σκύλλῃ καὶ ἡ τῆς Μελανίππης ῥῆσις 54 a 31 ; καίτοι τί διαφέρει ἢ ἐμβόλιμα ᾄδειν ἢ εἰ **ῥῆσιν** ἐξ ἄλλου εἰς ἄλλο ἁρμόττοι ἢ ἐπεισόδιον ὅλον ; 56 a 31 ; ἔτι ἐάν τις ἐφεξῆς θῇ **ῥήσεις** ἠθικὰς καὶ λέξει καὶ διανοίᾳ εὖ πεποιημένας, οὐ ποιήσει ὃ ἦν τῆς τραγῳδίας ἔργον 50 a 29.

ῥητορικός, ή, όν, rhétorique, qui concerne l'art oratoire ; **ἡ ῥητορική**, la

Rhétorique : τὸ λέγειν δύνασθαι τὰ ἐνόντα καὶ τὰ ἁρμόττοντα, ὅπερ ἐπὶ τῶν λόγων τῆς πολιτικῆς καὶ **ῥητορικῆς** ἔργον ἐστίν · οἱ μὲν γὰρ ἀρχαῖοι πολιτικῶς ἐποίουν λέγοντας, οἱ δὲ νῦν [sc. ποιηταὶ] ῥητορικῶς 50 b 6 ; τὰ μὲν οὖν περὶ τὴν διάνοιαν ἐν τοῖς περὶ ῥητορικῆς κείσθω · τοῦτο γὰρ ἴδιον μᾶλλον ἐκείνης τῆς μεθόδου 56 a 35.

ῥητορικῶς, conformément à l'art oratoire : οἱ δὲ νῦν [sc. ποιηταὶ] ῥητορικῶς 50 b 8 : voir le précédent. Opp. πολιτικῶς.

ῥυθμός (ὁ), rythme, mesure, proportion, cadence : κατὰ φύσιν δὲ ὄντος ἡμῖν τοῦ μιμεῖσθαι καὶ τῆς ἁρμονίας καὶ τοῦ **ῥυθμοῦ** 48 b 21 ; ἅπασαι μὲν ποιοῦνται τὴν μίμησιν ἐν **ῥυθμῷ** καὶ λόγῳ καὶ ἁρμονίᾳ, τούτοις δ' ἢ χωρὶς ἢ μεμιγμένοις · οἷον ἁρμονίᾳ μὲν καὶ ῥυθμῷ χρώμεναι μόνον ἥ τε αὐλητικὴ καὶ ἡ κιθαριστική, κἂν εἴ τινες ἕτεραι τυγχάνουσιν οὖσαι τοιαῦται τὴν δύναμιν, οἷον ἡ τῶν συρίγγων, αὐτῷ δὲ τῷ ῥυθμῷ χωρὶς ἁρμονίας ἡ τῶν ὀρχηστῶν 47 a 22, 23 & 26 ; εἰσὶ δέ τινες αἳ πᾶσι χρῶνται τοῖς εἰρημένοις, λέγω δὲ οἷον ῥυθμῷ καὶ μέλει καὶ μέτρῳ 47 b 25 ; λέγω δὲ ἡδυσμένον μὲν λόγον τὸν ἔχοντα **ῥυθμὸν** καὶ ἁρμονίαν καὶ μέλος 49 b 29 ; καὶ γὰρ οὗτοι [sc. οἱ ὀρχησταὶ] διὰ τῶν σχηματιζομένων **ῥυθμῶν** μιμοῦνται καὶ ἤθη καὶ πάθη καὶ πράξεις 47 a 28 ; τὰ γὰρ μέτρα ὅτι μόρια τῶν ῥυθμῶν ἐστι, φανερόν 48 b 21.

* * *

Σ, la lettre *sigma* : ἡμίφωνον δὲ τὸ μετὰ προσβολῆς ἔχον φωνὴν ἀκουστήν, οἷον τὸ Σ καὶ τὸ Ρ 56 b 28 ; ἄρρενα μὲν [sc. ὀνόματα] ὅσα τελευτᾷ εἰς τὸ Ν καὶ Ρ ⟨καὶ Σ⟩ 58 a 11 ; τὸ γὰρ Ψ καὶ τὸ Ξ ⟨τῷ⟩ Σ ταὐτά ἐστιν 58 a 15 ; τὰ δὲ μεταξὺ [sc. τελευτᾷ] εἰς ταῦτα καὶ Ν καὶ Σ 58 a 17.

Σαλαμίς (ἡ), Salamine : ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν **Σαλαμῖνι** ἐγένετο ναυμαχία καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη 59 a 25.

σάρξ (ἡ), chair : Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε · « φαγέδαινα ⟨δ'⟩ ἥ μου **σάρκας** ἐσθίει ποδός » 58 b 23 (Eschyle, Nauck, *fr.* 253, p. 81 = Mette, *fr.* 397, p. 147-148).

σατυρικός, ή, όν, satyrique : ἔτι δὲ τὸ μέγεθος ἐκ μικρῶν μύθων καὶ λέξεως γελοίας, διὰ τὸ ἐκ **σατυρικοῦ** μεταβαλεῖν, ὀψὲ ἀπεσεμνύνθη [sc. ἡ τραγῳδία], τό τε μέτρον ἐκ τετραμέτρου ἰαμβεῖον ἐγένετο · τὸ μὲν γὰρ πρῶτον τετραμέτρῳ ἐχρῶντο διὰ τὸ **σατυρικὴν** καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν 49 a 20 & 22.

σαυρωτήρ (ὁ), pointe de fer fixée au bas d'une lance : οἷον τὰ περὶ τῶν ὅπλων · « ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ **σαυρωτῆρος** » · οὕτω γὰρ τότ' ἐνόμιζον, ὥσπερ καὶ νῦν Ἰλλυριοί 61 a 3 (*Iliade*, X, 152-153).

σαφήνεια (ἡ), clarté (du style) : τὸ δὲ κύριον τὴν **σαφήνειαν** [sc. ποιήσει] 58 a 34. — Voir ταπεινός.

σαφής, ής, ές, clair : οὐκ ἐλάχιστον δὲ μέρος συμβάλλονται εἰς τὸ **σαφὲς** τῆς λέξεως καὶ μὴ ἰδιωτικὸν αἱ ἐπεκτάσεις καὶ ἀποκοπαὶ καὶ ἐξαλλαγαὶ τῶν ὀνομάτων 58 b 1 ; διὰ δὲ τὸ κοινωνεῖν τοῦ εἰωθότος τὸ σαφὲς ἔσται 58 b 5 ; λέξεως δὲ ἀρετὴ **σαφῆ** καὶ μὴ ταπεινὴν εἶναι 58 a 18 ; τὸ δὲ καλῶς τί λέγομεν, εἴπωμεν **σαφέστερον** 53 b 26 ; **σαφεστάτη** μὲν οὖν [sc. λέξις] ἐστιν ἡ ἐκ τῶν κυρίων ὀνομάτων, ἀλλὰ ταπεινή 58 a 18.

σεμνός, ή, όν, noble, distingué : **σεμνὴ** δὲ [sc. λέξις] καὶ ἐξαλλάττουσα τὸ ἰδιωτικὸν ἡ τοῖς ξενικοῖς κεχρημένη 58 a 21 ; οἱ μὲν γὰρ **σεμνότεροι** [sc. ποιηταὶ] τὰς καλὰς ἐμιμοῦντο πράξεις, καὶ τὰς τῶν τοιούτων 48 b 25.

σημαίνειν, signifier, désigner, avoir tel ou tel sens : ὁ δὲ τοῦ ἀνθρώπου τῷ ἓν σημαίνειν 57 a 30 ; δεῖ δὲ καὶ ὅταν ὄνομά τι ὑπεναντίωμά τι δοκῇ σημαίνειν, ἐπισκοπεῖν ποσαχῶς ἂν σημήνειε τοῦτο ἐν τῷ εἰρημένῳ 61 a 32 & 33 ; ἀναγνώρισις δ' ἐστίν, ὥσπερ καὶ τοὔνομα **σημαίνει**, ... 52 a 30 ; ἐν γὰρ τοῖς διπλοῖς οὐ χρώμεθα ὡς καὶ αὐτὸ καθ' αὑτὸ σημαῖνον, οἷον ἐν τῷ Θεοδώρῳ τὸ « δῶρον » οὐ σημαίνει 57 a 13 & 14 ; ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό 57 a 15 ; τὸ μὲν γὰρ « ἄνθρωπος » ἢ « λευκὸν » οὐ σημαίνει τὸ πότε 57 a 16 ; ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι 57 a 24 ; εἷς δ' ἐστὶ λόγος διχῶς · ἢ γὰρ ὁ ἓν **σημαίνων**, ἢ ὁ ἐκ πλειόνων συνδέσμῳ 57 a 29 ; **σημαῖνον** 57 a 13 (*supra*) ; ἡ μὲν [sc. πτῶσις] κατὰ τὸ « τούτου » ἢ « τούτῳ » σημαῖνον καὶ ὅσα τοιαῦτα 57 a 19 ; μέρος μέντοι ἀεί τι σημαῖνον ἕξει 57 a 27 ; ὀνόματος δὲ εἴδη τὸ μὲν ἁπλοῦν (ἁπλοῦν δὲ λέγω ὃ μὴ ἐκ **σημαινόντων** σύγκειται, οἷον γῆ), τὸ δὲ διπλοῦν · τούτου δὲ τὸ μὲν ἐκ **σημαίνοντος** καὶ ἀσήμου (πλὴν οὐκ ἐν τῷ ὀνόματι ⟨ὡς⟩ σημαίνοντος καὶ ἀσήμου), τὸ δὲ ἐκ σημαινόντων σύγκειται 57 a 32, 33 & 34* ; **σημήνειε** 61 a 33 (*supra*). — Voir προσσημαίνειν.

σημαντικός, ή, όν, qui signifie, qui indique, *sémantique* : ὄνομα δ' ἐστὶ φωνὴ συνθετὴ **σημαντική**, ἄνευ χρόνου, ἧς μέρος οὐδέν ἐστι καθ' αὑτὸ **σημαντικόν** 57 a 11 & 12 ; ῥῆμα δὲ φωνὴ συνθετὴ σημαντική, μετὰ χρόνου, ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό 57 a 14 ; λόγος δὲ φωνὴ συνθετὴ σημαντική, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι 57 a 24 ; σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν **σημαντικὴν** ἐκ πλειόνων φωνῶν πεφυκυῖαν συντίθεσθαι 57 a 1 & 9 ; ἢ φωνὴ ἄσημος ἣ ἐκ πλειόνων μὲν φωνῶν μιᾶς, **σημαντικῶν** δέ, ποιεῖν πέφυκεν μίαν σημαντικὴν φωνήν 57 a 5*.

σημεῖον (τὸ), signe, indice (accompagnement *ordinaire* d'une chose) : ποιούμενοι τὰ ὀνόματα σημεῖον 48 a 35 ; σημεῖον δὲ τούτου τὸ συμβαῖνον ἐπὶ τῶν ἔργων 48 b 9 ; σημεῖον δὲ τούτου · πλεῖστα γὰρ ἰαμβεῖα λέγομεν 49 a 25 ; ἔτι σημεῖον ὅτι καὶ οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει 50 a 35 ; σημεῖον δὲ καὶ τὸ γιγνόμενον 53 a 17 ; σημεῖον δὲ μέγιστον · ἐπὶ γὰρ τῶν σκηνῶν... 53 a 26 ; σημεῖον δὲ τούτου ὃ ἐπετιμᾶτο Καρκίνῳ 55 a 27 ; σημεῖον δέ, ὅσοι πέρσιν 'Ιλίου ὅλην ἐποίησαν 56 a 15 ; εὐφυΐας τε σημεῖόν ἐστιν 59 a 7 ; σημεῖον δέ · πάντες γὰρ προστιθέντες ἀπαγγέλλουσιν ὡς χαριζόμενοι 60 a 17 ; σημεῖον δέ · ἐκ γὰρ ὁποιασοῦν μιμήσεως πλείους τραγῳδίαι γίνονται 62 b 4 ; πρώτη μὲν ἡ ἀτεχνοτάτη [sc. ἀναγνώρισις], καὶ ᾗ πλείστῃ χρῶνται δι' ἀπορίαν, ἡ διὰ τῶν **σημείων** 54 b 21 ; αἱ γὰρ τοιαῦται μόναι ἄνευ τῶν πεποιημένων, σημείων καὶ δεραίων 55 a 22 ; ἐπεὶ ἔστι περιεργάζεσθαι τοῖς **σημείοις** καὶ ῥαψῳδοῦντα, ... καὶ διᾴδοντα 62 a 6.

Σθένελος (ὁ) Sthénélos, poète : παράδειγμα δὲ [sc. λέξεως ταπεινῆς] ἡ Κλεοφῶντος ποίησις καὶ ἡ **Σθενέλου** 58 a 21.

σίγυνον (τὸ), épieu, lance : τὸ γὰρ σίγυνον Κυπρίοις μὲν κύριον, ἡμῖν δὲ γλῶττα 57 b 6.

σίδηρος (ὁ), fer : τὰ δὲ κατὰ τὸ ἔθος τῆς λέξεως · ... καὶ « χαλκέας » τοὺς τὸν **σίδηρον** ἐργαζομένους 61 a 29.

Σικελία (ἡ), la Sicile : καὶ οἱ ἐκ **Σικελίας** [sc. τῆς κωμῳδίας ἀντιποιοῦνται] · ἐκεῖθεν γὰρ ἦν 'Επίχαρμος ὁ ποιητής 48 a 32 ; τὸ μὲν ἐξ ἀρχῆς ἐκ Σικελίας ἦλθεν 49 b 7 ; ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν Σαλαμῖνι ἐγένετο ναυμαχία καὶ ἡ ἐν **Σικελίᾳ** Καρχηδονίων μάχη 59 a 26.

Σίνων (ὁ), Sinon (titre de tragédie) : καὶ ἐκ τῆς μικρᾶς 'Ιλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, 'Ιλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 7.

Σίσυφος (ὁ), Sisyphe : ἔστι δὲ τοῦτο ὅταν ὁ σοφὸς μὲν μετὰ πονηρίας δὲ ἐξαπατηθῇ, ὥσπερ Σίσυφος 56 a 22.

σκάφη (ἡ), corbeille : τὰ δὲ [sc. ἀναγνωρίσεως σημεῖα] ἐκτός, οἷον τὰ περιδέραια, καὶ οἷα ἐν τῇ Τυροῖ διὰ τῆς **σκάφης** 54 b 25 (Sophocle, *Tyro*, Nauck, p. 272 & St. Radt [*Tr. G. F.*, t. IV], p. 467, *fr.* 657).

σκεπτέος, α, ον, qui doit être examiné : οὐ μόνον **σκεπτέον** εἰς αὐτὸ τὸ πεπραγμένον ἢ εἰρημένον βλέποντα... ἀλλὰ καὶ εἰς τὸν πράττοντα ἢ λέγοντα 61 a 5 ; αἱ δὲ λύσεις ἐκ τῶν εἰρημένων ἀριθμῶν **σκεπτέαι**, εἰσὶν δὲ δώδεκα 61 b 25.

σκευοποιός (ὁ), fabricant de décors et d'accessoires de théâtre : ἔτι δὲ κυριωτέρα περὶ τὴν ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ **σκευοποιοῦ** τέχνη τῆς τῶν ποιητῶν ἐστιν 50 b 21.

σκηνή (ἡ), scène, théâtre : κοινὰ μὲν ἁπάντων ταῦτα, ἴδια δὲ τὰ ἀπὸ τῆς **σκηνῆς** καὶ κόμμοι 52 b 18 ; κόμμος δὲ θρῆνος κοινὸς χοροῦ καὶ ἀπὸ σκηνῆς 52 b 25 ; ἐπὶ δὲ τῆς σκηνῆς ἐξέπεσε 55 a 29 ; ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον 59 b 25 ; ἐπεὶ τὰ περὶ τὴν Ἕκτορος δίωξιν ἐπὶ σκηνῆς ὄντα γελοῖα ἂν φανείη 60 a 15 ; ἐπὶ γὰρ τῶν **σκηνῶν** καὶ τῶν ἀγώνων τραγικώταται αἱ τοιαῦται φαίνονται, ἂν κατορθωθῶσιν 53 a 27.

σκηνογραφία (ἡ), peinture des décors de théâtre (ou : caractère dramatique des récits?) : τρεῖς δὲ [sc. ὑποκριτὰς] καὶ **σκηνογραφίαν** Σοφοκλῆς 49 a 18.

σκληρότης (ἡ), dureté de caractère : παράδειγμα **σκληρότητος** οἷον τὸν Ἀχιλλέα Ἀγάθων καὶ Ὅμηρος 54 b 14.

σκοπεῖν, examiner : τὰ δ' ὑπεναντίως εἰρημένα οὕτω σκοπεῖν, ὥσπερ οἱ ἐν τοῖς λόγοις ἔλεγχοι 61 b 16.

Σκύλλα (ἡ), *Scylla*, dithyrambe de Timothée : ἔστι δὲ παράδειγμα ... τοῦ δὲ ἀπρεποῦς καὶ μὴ ἁρμόττοντος ὅ τε θρῆνος Ὀδυσσέως ἐν τῇ **Σκύλλῃ** 54 a 31 ; πολλὴν κίνησιν κινοῦνται... καὶ ἕλκοντες τὸν κορυφαῖον, ἂν **Σκύλλαν** αὐλῶσιν 61 b 32.

σοφιστής (ὁ), sophiste : καὶ ἡ Πολυΐδου τοῦ **σοφιστοῦ** περὶ τῆς Ἰφιγενείας [sc. ἀναγνώρισις] 55 a 6.

Σοφοκλῆς (ὁ), Sophocle : ὥστε τῇ μὲν ὁ αὐτὸς ἂν εἴη μιμητὴς Ὁμήρῳ Σοφοκλῆς, μιμοῦνται γὰρ ἄμφω σπουδαίους, τῇ δὲ Ἀριστοφάνει · πράττοντας γὰρ μιμοῦνται καὶ δρῶντας ἄμφω 48 a 26 ; τρεῖς δὲ [sc. ὑποκριτὰς] καὶ σκηνογραφίαν Σοφοκλῆς 49 a 19 ; οἷον καὶ Σοφοκλῆς ἔφη αὐτὸς μὲν οἵους δεῖ ποιεῖν, Εὐριπίδην δὲ οἷοι εἰσίν 60 b 33 ; ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ **Σοφοκλέους** Οἰδίπους 53 b 31 ; ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασι, εἰ δὲ μή, ἔξω τῆς τραγῳδίας, οἷον τὸ ἐν τῷ Οἰδίποδι τῷ Σοφοκλέους 54 b 8 ; καὶ ἐν τῷ Σοφοκλέους Τηρεῖ ἡ τῆς κερκίδος φωνή 54 b 35 ; πασῶν δὲ βελτίστη ἀναγνώρισις ἡ ἐξ αὐτῶν τῶν πραγμάτων, τῆς ἐκπλήξεως γιγνομένης δι' εἰκότων, οἷον ἐν τῷ Σοφοκλέους Οἰδίποδι καὶ τῇ Ἰφιγενείᾳ 55 a 19 ; λέγω δὲ οἷον εἴ τις τὸν Οἰδίπουν θείη τὸν Σοφοκλέους ἐν ἔπεσιν ὅσοις ἡ Ἰλιάς 62 b 2 ; καὶ τὸν χορὸν δὲ ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν, καὶ μόριον εἶναι τοῦ ὅλου, καὶ συναγωνίζεσθαι μὴ ὥσπερ Εὐριπίδῃ, ἀλλ' ὥσπερ **Σοφοκλεῖ** 56 a 27.

σοφός, ή, όν, habile : ἔστι δὲ τοῦτο ὅταν ὁ σοφὸς μὲν μετὰ πονηρίας δὲ ἐξαπατηθῇ, ὥσπερ Σίσυφος, καὶ ὁ ἀνδρεῖος μὲν ἄδικος δὲ ἡττηθῇ 56 a 22.

σπείρειν, semer : οἷον τὸ τὸν καρπὸν μὲν ἀφιέναι « σπείρειν », τὸ δὲ τὴν φλόγα ἀπὸ τοῦ ἡλίου ἀνώνυμον · ἀλλ' ὁμοίως ἔχει τοῦτο πρὸς τὸν ἥλιον καὶ τὸ σπεί-

ρειν πρὸς τὸν καρπόν, διὸ εἴρηται « **σπείρων** θεοκτίσταν φλόγα » 57 b 27 & 29*.

σπουδάζειν, porter grand intérêt à : ἡ δὲ κωμῳδία διὰ τὸ μὴ **σπουδάζεσθαι** ἐξ ἀρχῆς ἔλαθεν 49 b 1.

σπουδαῖος, α, ον, empressé, actif, honnête, sérieux, élevé : βλέποντα εἰ **σπουδαῖον** ἢ φαῦλον 61 a 6 ; διόπερ ὅστις περὶ τραγῳδίας οἶδε **σπουδαίας** καὶ φαύλης, οἶδε καὶ περὶ ἐπῶν 49 b 17 ; ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης 49 b 24 ; ὥσπερ δὲ καὶ τὰ **σπουδαῖα** μάλιστα ποιητὴς Ὅμηρος ἦν, ... οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος ὑπέδειξεν 48 b 34 ; ἡ μὲν οὖν ἐποποιΐα τῇ τραγῳδίᾳ μέχρι μὲν τοῦ μετὰ μέτρου μίμησις εἶναι **σπουδαίων** ἠκολούθησεν 49 b 10 ; ἐπεὶ δὲ μιμοῦνται οἱ μιμούμενοι πράττοντας, ἀνάγκη δὲ τούτους ἢ **σπουδαίους** ἢ φαύλους εἶναι 48 a 2 ; μιμοῦνται γὰρ ἄμφω σπουδαίους [sc. Ὅμηρος καὶ Σοφοκλῆς] 48 a 27 ; διὸ καὶ φιλοσοφώτερον καὶ **σπουδαιότερον** ποίησις ἱστορίας ἐστίν 51 b 6.

σπουδή (ἡ), soin, attention : παρὰ γὰρ τὴν τούτων γνῶσιν ἢ ἄγνοιαν οὐδὲν εἰς τὴν ποιητικὴν ἐπιτίμημα φέρεται, ὅ τι καὶ ἄξιον **σπουδῆς** 56 b 14.

στάδιον (τὸ), stade : οἷον εἰ μυρίων **σταδίων** εἴη ζῷον 51 a 2.

στάσιμος, ος, ον, grave, ferme: **τὸ στάσιμον**, chant du chœur *sur place*, stasimon : μέρη δὲ τραγῳδίας... πρόλογος, ἐπεισόδιον, ἔξοδος, χορικόν, καὶ τούτου τὸ μὲν πάροδος, τὸ δὲ **στάσιμον** 52 b 17 ; στάσιμον δὲ μέλος χοροῦ τὸ ἄνευ ἀναπαίστου καὶ τροχαίου 52 b 23 ; τὸ γὰρ ἡρωϊκὸν **στασιμώτατον** καὶ ὀγκωδέστατον τῶν μέτρων ἐστίν 59 b 34.

στοιχεῖον (τὸ), lettre, caractère d'écriture : τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη · στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος. Στοιχεῖον μὲν οὖν ἐστι φωνὴ ἀδιαίρετος, οὐ πᾶσα δέ, ἀλλ' ἐξ ἧς πέφυκε συνθετὴ γίνεσθαι φωνή · καὶ γὰρ τῶν θηρίων εἰσὶν ἀδιαίρετοι φωναί, ὧν οὐδεμίαν λέγω στοιχεῖον 56 b 20, 22 & 24.

στόμα (τὸ), bouche : ταῦτα δὲ [sc. στοιχεῖα] διαφέρει σχήμασί τε τοῦ **στόματος** καὶ τόποις καὶ δασύτητι καὶ ψιλότητι κ. τ. α. 56 b 31.

στοχάζεσθαι, viser, avoir en vue, chercher à atteindre : ὧν δὲ δεῖ στοχάζεσθαι καὶ ἃ δεῖ εὐλαβεῖσθαι συνιστάντας τοὺς μύθους 52 b 28 ; περὶ δὲ τὰ ἤθη τέτταρά ἐστιν ὧν δεῖ στοχάζεσθαι, ἓν μὲν καὶ πρῶτον ὅπως χρηστὰ ᾖ 54 a 16 ; οὗ **στοχάζεται** ἡ ποίησις ὀνόματα ἐπιτιθεμένη [sc. τὸ καθόλου] 51 b 9 ; ἐν δὲ ταῖς περιπετείαις καὶ ἐν τοῖς ἁπλοῖς πράγμασι **στοχάζονται** ὧν βούλονται θαυμαστῶς 56 a 20.

σύ, toi : τούτοις χρῶνται, οἷον τὸ... καὶ τὸ « **σέθεν** » 58 b 34.

συβότης (ὁ), porcher : Ὀδυσσεὺς διὰ τῆς οὐλῆς ἄλλως ἀνεγνωρίσθη ὑπὸ τῆς τροφοῦ καὶ ἄλλως ὑπὸ τῶν **συβοτῶν** 54 b 28 (cf. *Odyssée*, XIX, 386 s. & XXI, 205 s.).

συγκεῖσθαι, être composé de, consister en : οὐ γὰρ ἅπας λόγος ἐκ ῥημάτων καὶ ὀνομάτων **σύγκειται** 57 a 25 ; ἁπλοῦν δὲ λέγω ὃ μὴ ἐκ σημαινόντων σύγκειται, οἷον γῆ 57 a 32 ; τὸ δὲ διπλοῦν · τούτου δὲ τὸ μὲν... τὸ δὲ ἐκ σημαινόντων σύγκειται 57 a 35 ; καὶ ὅσα ἐκ τούτου σύγκειται 58 a 11 ; λέγω δὲ οἷον ἐὰν ἐκ πλειόνων πράξεων ᾖ **συγκειμένη**, ὥσπερ ἡ Ἰλιὰς ἔχει πολλὰ τοιαῦτα μέρη καὶ ἡ Ὀδύσσεια 62 b 8.

συγχεῖν, confondre, brouiller : **συγχεῖται** γὰρ ἡ θεωρία ἐγγὺς τοῦ ἀναισθήτου χρόνου γινομένη 50 b 39.

συκοφαντεῖν, critiquer, dénigrer : ἄλλως τε καὶ ὡς νῦν **συκοφαντοῦσι** τοὺς ποιητάς 56 a 5.

συλλαβή (ἡ), syllabe : τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη, στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 21 ; συλλαβὴ δ' ἐστὶ φωνὴ ἄσημος, συνθετὴ ἐξ ἀφώνου καὶ φωνὴν ἔχοντος · καὶ γὰρ τὸ ΓΡ ἄνευ τοῦ Α συλλαβή, καὶ μετὰ τοῦ Α, οἷον τὸ ΓΡΑ 56 b 34 & 36 ; ἐπεκτεταμένον [sc. ὄνομα]... ἐὰν φωνήεντι μακροτέρῳ κεχρημένον ᾖ τοῦ οἰκείου ἢ **συλλαβῇ** ἐμβεβλημένη 58 a 2.

συλλογίζεσθαι, raisonner, déduire, faire un raisonnement syllogistique : διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντες, ὅτι συμβαίνει θεωροῦντας μανθάνειν καὶ συλλογίζεσθαι τί ἕκαστον, οἷον ὅτι οὗτος ἐκεῖνος 48 b 16 ; ὅτι ἔνιοι ἀλόγως προϋπολαμβάνουσί τι, καὶ αὐτοὶ καταψηφισάμενοι **συλλογίζονται**, καὶ ὡς εἰρηκότος ὅτι δοκεῖ ἐπιτιμῶσιν, ἂν ὑπεναντίον ᾖ τῇ αὐτῶν οἰήσει 61 b 2 ; εἰκὸς γὰρ τὸν 'Ορέστην **συλλογίσασθαι** ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι 55 a 7 ; ἰδοῦσαι γὰρ τὸν τόπον **συνελογίσαντο** τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς 55 a 10.

συλλογισμός (ὁ), raisonnement déductif, syllogisme : τετάρτη δὲ [sc. ἀναγνώρισις] ἡ ἐκ **συλλογισμοῦ**, οἷον ἐν Χοηφόροις, ὅτι ὅμοιός τις ἐλήλυθεν, ὅμοιος δὲ οὐθεὶς ἀλλ' ἢ ὁ 'Ορέστης · οὗτος ἄρα ἐλήλυθεν 55 a 4 ; δεύτεραι δὲ [sc. ἀναγνωρίσεις] αἱ ἐκ συλλογισμοῦ 55 a 22.

συμβαίνειν, se produire, survenir, résulter : ὥστε ἐκ τῶν προγεγενημένων συμβαίνειν ἢ ἐξ ἀνάγκης ἢ κατὰ τὸ εἰκὸς γίνεσθαι ταῦτα 52 a 19 ; φανερὸν οὖν ὅτι καὶ τὰς λύσεις τῶν μύθων ἐξ αὐτοῦ δεῖ τοῦ μύθου συμβαίνειν 54 b 1 ; διὰ γὰρ τοῦτο χαίρουσι τὰς εἰκόνας ὁρῶντες, ὅτι **συμβαίνει**... μανθάνειν καὶ συλλογίζεσθαι τί ἕκαστον 48 b 16 ; ἐν ὅσῳ μεγέθει κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον ἐφεξῆς γιγνομένων συμβαίνει εἰς εὐτυχίαν ἐκ δυστυχίας ἢ ἐξ εὐτυχίας... μεταβάλλειν 51 a 13 ; πολλὰ γὰρ καὶ ἄπειρα τῷ ἑνὶ συμβαίνει, ἐξ ὧν ἐνίων οὐδέν ἐστιν ἕν 51 a 17 ; ἔστι δὲ καθόλου μέν, τῷ ποίῳ τὰ ποῖα ἄττα συμβαίνει λέγειν ἢ πράττειν κατὰ τὸ εἰκὸς ἢ τὸ ἀναγκαῖον 51 b 8 ; καὶ γὰρ πρὸς ἄψυχα καὶ τὰ τυχόντα ἔστιν ὡς ⟨ὅ⟩περ εἴρηται συμβαίνει 52 a 35 ; εἰκὸς γὰρ τὸν 'Ορέστην συλλογίσασθαι ὅτι ἥ τ' ἀδελφὴ ἐτύθη καὶ αὐτῷ συμβαίνει θύεσθαι 55 a 8 ; ἐξ οὗ μεταβαίνειν εἰς εὐτυχίαν ⟨συμβαίνει⟩ ἢ εἰς ἀτυχίαν 55 b 28 ; ὥστε ἴσα συμβαίνει πλήθη εἰς ὅσα τὰ ἄρρενα καὶ τὰ θήλεα 58 a 13 ; μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιίᾳ τὸ ἄλογον, δι' ὃ συμβαίνει μάλιστα τὸ θαυμαστόν 60 a 13 ; σημεῖον δὲ τούτου τὸ **συμβαῖνον** ἐπὶ τῶν ἔργων 48 b 9 ; ὥστε οὔτε ἐλεεινὸν οὔτε φοβερὸν ἔσται τὸ συμβαῖνον 53 a 7 ; ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν **συμβαινόντων** 53 b 6 ; ἔτι δὲ καὶ τὸ ἀτυχεῖν καὶ τὸ εὐτυχεῖν ἐπὶ τῶν τοιούτων **συμβήσεται** 52 b 3 ; 'Οδύσσειαν γὰρ ποιῶν οὐκ ἐποίησεν ἅπαντα ὅσα αὐτῷ [sc. τῷ 'Οδυσσεῖ] **συνέβη** 51 a 25 ; τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ σωθῆναι 52 a 28 ; χρόνῳ δ' ὕστερον τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας 55 b 6 ; ὅσα ἐν τούτῳ [sc. τῷ χρόνῳ] συνέβη περὶ ἕνα ἢ πλείους, ὧν ἕκαστον ὡς ἔτυχεν ἔχει πρὸς ἄλληλα 59 a 23 ; κἂν ἄρα **συμβῇ** γενόμενα ποιεῖν, οὐθὲν ἧττον ποιητής ἐστιν 51 b 29 ; καὶ ὅσοις ἄλλοις **συμβέβηκεν** ἢ παθεῖν δεινὰ ἢ ποιῆσαι 53 a 21 ; ἀναγκάζονται οὖν ἐπὶ ταύτας τὰς οἰκίας ἀπαντᾶν, ὅσαις τὰ τοιαῦτα συμβέβηκε πάθη 54 a 13 ; αὐτῆς δὲ τῆς ποιητικῆς διττὴ ἁμαρτία · ἡ μὲν γὰρ καθ' αὑτήν, ἡ δὲ κατὰ **συμβεβηκός** 60 b 16 ; ἔτι ποτέρων ἐστὶ τὸ ἁμάρτημα, τῶν κατὰ τὴν τέχνην ἢ κατ' ἄλλο συμβεβηκός 60 b 31.

συμβάλλειν, rapprocher; *moy.* : contribuer : οὐκ ἐλάχιστον δὲ μέρος **συμβάλλονται** εἰς τὸ σαφὲς τῆς λέξεως καὶ μὴ ἰδιωτικὸν αἱ ἐπεκτάσεις καὶ ἀποκοπαὶ καὶ ἐξαλλαγαὶ τῶν ὀνομάτων 58 b 1.

σύμμετρος, ος, ον, qui est d'une juste mesure, qui s'harmonise à : ὥστ'

ἐὰν μὲν ἕνα μῦθον ποιῶσιν, ἢ βραχέως δεικνύμενον μύουρον φαίνεσθαι, ἢ ἀκολουθοῦντα τῷ **συμμέτρῳ** μήκει ὑδαρῆ 62 b 7.

συμπαραλαμβάνειν, prendre en outre ensemble : **συμπαραλαμβάνουσι** 50 a 21 *var.* : voir le suivant.

συμπεριλαμβάνειν, embrasser, comporter, contenir ensemble : οὔκουν ὅπως τὰ ἤθη μιμήσωνται πράττουσιν, ἀλλὰ τὰ ἤθη **συμπεριλαμβάνουσι** διὰ τὰς πράξεις 50 a 21.

συμπίπτειν, tomber ou survenir en même temps : ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν **συμπιπτόντων**, λάβωμεν 53 b 15.

σύμφυτος, **ος**, **ον**, inné, naturel : τό τε γὰρ μιμεῖσθαι **σύμφυτον** τοῖς ἀνθρώποις ἐκ παίδων ἐστί 48 b 5 ; τούτων δὲ [sc. τῶν σημείων] τὰ μὲν **σύμφυτα**, οἷον « λόγχην ἣν φοροῦσι Γηγενεῖς » ἢ ἀστέρας οἵους ἐν τῷ Θυέστῃ Καρκίνος, τὰ δὲ ἐπίκτητα 54 b 22.

[**σύν**, avec : la préposition σύν, fort peu employée par Aristote, ne se rencontre dans la *Poétique* qu'en composition.]

συναγωνίζεσθαι, concourir à l'action dramatique : καὶ τὸν χορὸν δὲ ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν, καὶ μόριον εἶναι τοῦ ὅλου, καὶ συναγωνίζεσθαι μὴ ὥσπερ Εὐριπίδῃ, ἀλλ' ὥσπερ Σοφοκλεῖ 56 a 26.

συναπεργάζεσθαι, mener à bien, conduire au parfait achèvement : δεῖ δὲ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον 55 a 23 ; ὅσα δὲ δυνατὸν καὶ τοῖς σχήμασι **συναπεργαζόμενον** 55 a 30.

συνάπτειν, rattacher, rapprocher : πλὴν οἱ ἄνθρωποί γε **συνάπτοντες** τῷ μέτρῳ τὸ ποιεῖν, ἐλεγειοποιούς, τοὺς δὲ ἐποποιοὺς ὀνομάζουσι 47 b 13 ; αἰνίγματος γὰρ ἰδέα αὕτη ἐστί, τὸ λέγοντα ὑπάρχοντα ἀδύνατα **συνάψαι** 58 a 27.

σύνδεσμος (ὁ), lien, *conjonction* : τῆς δὲ λέξεως ἁπάσης τάδ' ἐστὶ τὰ μέρη · στοιχεῖον, συλλαβή, σύνδεσμος, ἄρθρον, ὄνομα, ῥῆμα, πτῶσις, λόγος 56 b 21 ; σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν ἐκ πλειόνων φωνῶν πεφυκυῖαν συντίθεσθαι, καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ μέσου, ἣν μὴ ἁρμόττει ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν, οἷον μέν, ⟨δ⟩ή, τοί, δέ · ἢ φωνὴ ἄσημος ἣ ἐκ πλειόνων μὲν φωνῶν μιᾶς, σημαντικῶν δέ, ποιεῖν πέφυκεν μίαν σημαντικὴν φωνήν 56 b 38 ; εἷς δ' ἐστὶ λόγος διχῶς · ἢ γὰρ ὁ ἓν σημαίνων, ἢ ὁ ἐκ πλειόνων **συνδέσμῳ**, οἷον ἡ Ἰλιὰς μὲν συνδέσμῳ εἷς, ὁ δὲ τοῦ ἀνθρώπου τῷ ἓν σημαίνειν 57 a 29 & 30.

σύνδηλος, **ος**, **ον**, tout à fait évident : ἀεὶ μὲν ὁ μείζων μέχρι τοῦ σύνδηλος εἶναι καλλίων ἐστὶ κατὰ τὸ μέγεθος 51 a 10.

συνετός, **ή**, **όν**, intelligible : ἐξ ἧς πέφυκε **συνετὴ** γίνεσθαι φωνή 56 b 23 *var.* : voir σύνθετος.

συνεχής, **ής**, **ές**, continu, cohérent : λέγω δὲ ἁπλῆν μὲν πρᾶξιν ἧς γινομένης, ὥσπερ ὥρισται, **συνεχοῦς** καὶ μιᾶς, ἄνευ περιπετείας ἢ ἀναγνωρισμοῦ ἡ μετάβασις γίνεται 52 a 15.

συνήθεια (ἡ), habitude : οἱ μὲν διὰ τέχνης, οἱ δὲ διὰ **συνηθείας** [sc. μιμοῦνται] 47 a 20.

σύνθεσις (ἡ), composition, arrangement, art de la composition : λέγω δὲ λέξιν μὲν αὐτὴν τὴν τῶν μέτρων **σύνθεσιν**, μελοποιΐαν δὲ ὃ τὴν δύναμιν φανερὰν ἔχει πᾶσαν 49 b 35 ; λέγω γὰρ μῦθον τοῦτον τὴν σύνθεσιν τῶν πραγμάτων, τὰ δὲ ἤθη..., διάνοιαν δὲ... 50 a 5 ; ἐπειδὴ οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας μὴ ἁπλῆν ἀλλὰ πεπλεγμένην 52 b 31 ; κατὰ μὲν

οὖν τὴν τῶν ⟨ἄλλων⟩ ὀνομάτων σύνθεσιν οὐχ οἷόν τε τοῦτο ποιῆσαι, κατὰ δὲ τὴν μεταφορὰν ἐνδέχεται 58 a 28 ; καὶ μὴ ὁμοίας ἱστορίαις τὰς **συνθέσεις** εἶναι 59 a 22.

συνθετός, ή, όν, composé, convenu : ἔστι δέ τις [sc. ἀναγνώρισις] καὶ **συνθετὴ** ἐκ παραλογισμοῦ τοῦ θεάτρου, οἷον ἐν τῷ 'Οδυσσεῖ τῷ ψευδαγγέλῳ 55 a 12 ; ἐξ ἧς πέφυκε συνθετὴ γίνεσθαι φωνή 56 b 23 ; συλλαβὴ δ' ἐστὶ φωνὴ ἄσημος, συνθετὴ ἐξ ἀφώνου καὶ φωνὴν ἔχοντος 56 b 35 ; ὄνομα δ' ἐστὶ φωνὴ συνθετὴ σημαντική, ἄνευ χρόνου, ἧς μέρος οὐδέν ἐστι καθ' αὑτὸ σημαντικόν 57 a 11 ; ῥῆμα δὲ φωνὴ συνθετὴ σημαντική, μετὰ χρόνου, ἧς οὐδὲν μέρος σημαίνει καθ' αὑτό 57 a 14 ; λόγος δὲ φωνὴ συνθετὴ σημαντική, ἧς ἔνια μέρη καθ' αὑτὰ σημαίνει τι 57 a 23.

συνιστάναι, réunir, retenir, se composer de : τὰ πράγματα συνιστάναι 50 a 37 *var.* : voir συνίστασθαι, *infra* ; δεῖ δὲ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων τιθέμενον 55 a 23 ; ὅτι δεῖ τοὺς μύθους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικούς, καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν 59 a 18 ; ὧν δὲ δεῖ στοχάζεσθαι καὶ ἃ δεῖ εὐλαβεῖσθαι **συνιστάντας** τοὺς μύθους 52 b 28 ; ἀλλὰ περὶ μίαν πρᾶξιν, οἵαν λέγομεν, τὴν 'Οδύσσειαν **συνέστησεν**, ὁμοίως δὲ καὶ τὴν 'Ιλιάδα 51 a 29 ; **συστήσαντες** γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων οὕτω τὰ τυχόντα ὀνόματα ὑποτιθέασι 51 b 12 ; καὶ τὰ μέρη **συνεστάναι** τῶν πραγμάτων οὕτως ὥστε μετατιθεμένου τινὸς μέρους ἢ ἀφαιρουμένου διαφέρεσθαι καὶ κινεῖσθαι τὸ ὅλον 51 a 32 ; δεῖ γὰρ καὶ ἄνευ τοῦ ὁρᾶν οὕτω συνεστάναι τὸν μῦθον ὥστε τὸν ἀκούοντα τὰ πράγματα γινόμενα καὶ φρίττειν καὶ ἐλεεῖν ἐκ τῶν συμβαινόντων 53 b 4 ; ἔτι δ' ἐπεὶ τὸ καλὸν καὶ ζῷον καὶ ἅπαν πρᾶγμα ὃ **συνέστηκεν** ἐκ τινῶν 50 b 36 ; καὶ γὰρ καὶ τῶν ποιημάτων ἑκάτερον συνέστηκεν ἡ μὲν 'Ιλιὰς ἁπλοῦν καὶ παθητικόν, ἡ δὲ 'Οδύσσεια πεπλεγμένον 59 b 14 ; καίτοι ταῦτα τὰ ποίηματα συνέστηκεν ὡς ἐνδέχεται ἄριστα, καὶ ὅτι μάλιστα μιᾶς πράξεως μίμησις 62 b 10 ; δεῖ ἄρα τοὺς **συνεστῶτας** εὖ μύθους μήθ' ὁπόθεν ἔτυχεν ἄρχεσθαι μήθ' ὅπου ἔτυχε τελευτᾶν 50 b 33 ; καὶ πῶς δεῖ **συνίστασθαι** τοὺς μύθους, εἰ μέλλει καλῶς ἕξειν ἡ ποίησις 47 a 9 ; οἱ ἐγχειροῦντες ποιεῖν πρότερον δύνανται τῇ λέξει καὶ τοῖς ἤθεσιν ἀκριβοῦν ἢ τὰ πράγματα συνίστασθαι 50 a 37 ; τούς τε λόγους μὴ συνίστασθαι ἐκ μερῶν ἀλόγων 60 a 28 ; ἐξ ἀρχῆς γὰρ οὐ δεῖ συνίστασθαι τοιούτους 60 a 34 ; καὶ ἔτι οὐ μικρὸν μέρος τὴν μουσικὴν καὶ τὰς ὄψεις, δι' ἃς αἱ ἡδοναὶ **συνίστανται** ἐναργέστατα 62 a 16.

σύνολος, ος, ον, tout entier, d'ensemble : πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ **σύνολον** 47 a 16.

συνορᾶν, embrasser du regard : τοῦ μὲν οὖν μήκους ὅρος ἱκανὸς ὁ εἰρημένος · δύνασθαι γὰρ δεῖ **συνορᾶσθαι** τὴν ἀρχὴν καὶ τὸ τέλος 59 b 19.

συντείνειν, tendre ensemble vers : ὥσπερ γὰρ κατὰ τοὺς αὐτοὺς χρόνους ἥ τ' ἐν Σαλαμῖνι ἐγένετο ναυμαχία καὶ ἡ ἐν Σικελίᾳ Καρχηδονίων μάχη, οὐδὲν πρὸς τὸ αὐτὸ **συντείνουσαι** τέλος 59 a 27.

συντιθέναι, composer : σύνδεσμος δ' ἐστὶ φωνὴ ἄσημος, ἣ οὔτε κωλύει οὔτε ποιεῖ φωνὴν μίαν σημαντικὴν ἐκ πλειόνων φωνῶν πεφυκυῖαν **συντίθεσθαι** 57 a 2 ; νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι **συντίθενται** 53 a 19.

σύντομος ος, ον, bref, écourté : ἐν μὲν οὖν τοῖς δράμασι τὰ ἐπεισόδια **σύντομα**, ἡ δ' ἐποποιΐα τούτοις μηκύνεται 55 b 16.

σῦριγξ (ἡ) flûte : οἷον ἁρμονίᾳ μὲν καὶ ῥυθμῷ χρώμεναι [sc. τέχναι] μόνον ἥ τε αὐλητικὴ καὶ ἡ κιθαριστική, κἂν εἴ τινες ἕτεραι τυγχάνουσιν οὖσαι τοιαῦται τὴν δύναμιν, οἷον ἡ τῶν **συρίγγων** [sc. τέχνη] 47 a 26 ; τὸ δὲ κατὰ μετα-

φορὰν εἴρηται, οἷον... « ἤτοι ὅτ' ἐς πεδίον τὸ Τρωϊκὸν ἀθρήσειεν, αὐλῶν συρίγγων θ' ὅμαδον » 61 a 18 (*Iliade*, X, 11 & 13).

σύστασις (ἡ), assemblage, composition : μέγιστον δὲ τούτων ἐστὶν ἡ τῶν πραγμάτων σύστασις 50 a 15 ; τὸ μὲν γὰρ φιλάνθρωπον ἔχοι ἂν ἡ τοιαύτη σύστασις, ἀλλ' οὔτε ἔλεον οὔτε φόβον 53 a 3 ; δευτέρα δ' ἡ πρώτη λεγομένη ὑπὸ τινῶν ἐστιν σύστασις, ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα, καθάπερ ἡ 'Οδύσσεια, καὶ τελευτῶσα ἐξ ἐναντίας τοῖς βελτίοσι καὶ χείροσιν 53 a 31* ; ταῦτα δὲ δεῖ γίνεσθαι ἐξ αὐτῆς τῆς **συστάσεως** τοῦ μύθου 52 a 18 ; ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεώς ἐστιν 53 a 23 ; ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι, ἔστι δὲ καὶ ἐξ αὐτῆς τῆς συστάσεως τῶν πραγμάτων 53 b 2 ; περὶ μὲν οὖν τῆς τῶν πραγμάτων συστάσεως, καὶ ποίους τινὰς εἶναι δεῖ τοὺς μύθους, εἴρηται ἱκανῶς 54 a 14 ; διαφέρει δὲ κατά τε τῆς συστάσεως τὸ μῆκος ἡ ἐποποιΐα καὶ τὸ μέτρον 59 b 17 ; χρὴ δὲ καὶ ἐν τοῖς ἤθεσιν, ὥσπερ καὶ ἐν τῇ τῶν πραγμάτων **συστάσει**, ἀεὶ ζητεῖν ἢ τὸ ἀναγκαῖον ἢ τὸ εἰκός 54 a 34 ; τραγῳδία ἔχουσα δὲ μῦθον καὶ **σύστασιν** πραγμάτων 50 a 32 ; λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων 50 b 23 ; ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα 53 a 31 (*supra*) ; διὸ οὐδεὶς μακρὰν σύστασιν ἐν ἄλλῳ πεποίηκεν ἢ τῷ ἡρῴῳ 60 a 3 ; εἴη δ' ἂν τοῦτο, εἰ τῶν μὲν ἀρχαίων ἐλάττους αἱ **συστάσεις** εἶεν 59 b 21.

σύστημα (τὸ), ensemble, système : χρὴ δὲ... μὴ ποιεῖν ἐποποιϊκὸν σύστημα τραγῳδίαν 56 a 11 ; καθάπερ ἐπὶ τῶν **συστημάτων** 51 a 3 *var.* (σωμάτων edd.).

σφιν, pour eux : « ἔγχεα δέ σφιν ὄρθ' ἐπὶ σαυρωτῆρος » 61 a 3 (*Iliade*, X, 152-153).

σφόδρα, fortement, foncièrement : οὐδ' αὖ τὸν σφόδρα πονηρὸν ἐξ εὐτυχίας εἰς δυστυχίαν μεταπίπτειν 53 a 1.

σχεδόν, presque, à peu près, peu s'en faut : τὰ γὰρ ἤθη σχεδὸν ἀεὶ τούτοις ἀκολουθεῖ μόνοις 48 a 2 ; οἷον καὶ οἱ πρῶτοι ποιηταὶ σχεδὸν ἅπαντες 50 a 37 ; σχεδὸν δὲ οἱ πολλοὶ τῶν ποιητῶν τοῦτο δρῶσιν 59 a 29.

σχῆμα (τὸ), forme, figure, esquisse : οὕτω καὶ τὰ τῆς κωμῳδίας **σχήματα** πρῶτος ὑπέδειξεν [sc. Ὅμηρος] 48 b 36 ; διὰ τὸ μείζονα καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων 49 a 6 ; ἤδη δὲ σχήματά τινα αὐτῆς ἐχούσης οἱ λεγόμενοι αὐτῆς ποιηταὶ [sc. τῆς κωμῳδίας] μνημονεύονται 49 b 3 ; τῶν δὲ περὶ τὴν λέξιν ἓν μέν ἐστιν εἶδος θεωρίας τὰ σχήματα τῆς λέξεως 56 b 9 ; τὴν μὲν οὖν πρὸς θεατὰς ἐπιεικεῖς φασιν εἶναι, ⟨οἳ⟩ οὐδὲν δέονται τῶν **σχημάτων**, τὴν δὲ τραγικὴν πρὸς φαύλους 62 a 3 ; ὥσπερ γὰρ καὶ χρώμασι καὶ **σχήμασι** πολλὰ μιμοῦνταί τινες ἀπεικάζοντες 47 a 19 ; ὅσα δὲ δυνατὸν καὶ τοῖς σχήμασι συναπεργαζόμενον 55 a 30 ; ταῦτα δὲ διαφέρει σχήμασί τε τοῦ στόματος καὶ τόποις καὶ δασύτητι καὶ ψιλότητι κ. τ. α. 56 b 31.

σχηματίζειν, donner une figure, schématiser : καὶ γὰρ οὗτοι διὰ τῶν **σχηματιζομένων** ῥυθμῶν μιμοῦνται καὶ ἤθη καὶ πάθη καὶ πράξεις 47 a 27.

σῴζειν, sauver : τὸν μὲν συνέβη ἐκ τῶν πεπραγμένων ἀποθανεῖν, τὸν δὲ **σωθῆναι** 52 a 29 ; αὐτὸς ἐπιθέμενος, αὐτὸς μὲν **ἐσώθη**, τοὺς δ' ἐχθροὺς διέφθειρεν 55 b 22.

Σωκρατικοὶ λόγοι (οἱ), les Dialogues Socratiques, les « Dits de Socrate » : οὐδὲν γὰρ ἂν ἔχοιμεν ὀνομάσαι κοινὸν τοὺς Σώφρονος καὶ Ξενάρχου μίμους καὶ τοὺς **Σωκρατικοὺς λόγους** 47 b 11.

σῶμα (τὸ), corps, personne : καὶ τὸν Δόλωνα « ὅς ῥ' ἤ τοι εἶδος μὲν ἔην κακός », οὐ τὸ σῶμα ἀσύμμετρον, ἀλλὰ τὸ πρόσωπον αἰσχρόν 61 a 13 (*Iliade*, X,

316) ; τούτων δὲ [sc. τῶν σημείων] τὰ μὲν σύμφυτα..., τὰ δὲ ἐπίκτητα, καὶ τούτων τὰ μὲν ἐν τῷ **σώματι**, οἷον οὐλαί, τὰ δὲ ἐκτός, οἷον τὰ περιδέραια 54 b 24 ; ὥστε δεῖ, καθάπερ ἐπὶ τῶν **σωμάτων** καὶ ἐπὶ τῶν ζῴων ἔχειν μὲν μέγεθος, τοῦτο δὲ εὐσύνοπτον εἶναι 51 a 3.

Σωσίστρατος (ὁ), Sosistratos, rhapsode : ἐπεὶ ἔστι περιεργάζεσθαι τοῖς σημείοις καὶ ῥαψῳδοῦντα, ὅπερ Σωσίστρατος, καὶ διᾴδοντα, ὅπερ ἐποίει Μνασίθεος ὁ Ὀπούντιος 62 a 7.

σωτηρία (ἡ), salut, conservation de la vie : ἐλθὼν δὲ καὶ ληφθεὶς θύεσθαι μέλλων ἀνεγνώρισεν... καὶ ἐντεῦθεν ἡ σωτηρία 55 b 12 ; οἷον ἐν τῷ Ὀρέστῃ ἡ μανία δι' ἧς ἐλήφθη, καὶ ἡ σωτηρία διὰ τῆς καθάρσεως 55 b 14.

Σώφρων (ὁ), Sophron : οὐδὲν γὰρ ἂν ἔχοιμεν ὀνομάσαι κοινὸν τοὺς **Σώφρονος** καὶ Ξενάρχου μίμους καὶ τοὺς Σωκρατικοὺς λόγους 47 b 10.

* * *

τἆλλα, le reste : 54 b 12 ; 58 a 33 : voir ἄλλος.

τἄλογα, l'irrationnel : 61 b 14 : voir ἄλογος.

ταναήκης, ης, ες, aiguisé, tranchant : « ταμὼν **ταναήκεϊ** χαλκῷ » 57 b 14 *var.* (cf. Empédocle, *fr.* B 143, D-K, I, p. 369, 14 & *Iliade*, VII, 77 ; XXIII, 118 ; XXIV, 754). — Voir ἀτειρής.

τάξις (ἡ), ordre, ordonnance : τὸ γὰρ καλὸν ἐν μεγέθει καὶ **τάξει** ἐστι, διὸ οὔτε πάμμικρον ἄν τι γένοιτο καλὸν ζῷον... οὔτε παμμέγεθες 50 b 38.

ταπεινός, ή, όν, bas, vulgaire : λέξεως δὲ ἀρετὴ σαφῆ καὶ μὴ **ταπεινὴν** εἶναι. Σαφεστάτη μὲν οὖν ἐστιν ἡ ἐκ τῶν κυρίων ὀνομάτων, ἀλλὰ **ταπεινή** 58 a 18 & 20 ; τὸ μὲν γὰρ μὴ ἰδιωτικὸν ποιήσει μηδὲ **ταπεινὸν** ἡ γλῶττα καὶ ἡ μεταφορὰ καὶ ὁ κόσμος καὶ τἆλλα τὰ εἰρημένα εἴδη, τὸ δὲ κύριον τὴν σαφήνειαν 58 a 32.

τάττειν, ranger, mettre en ordre : ἔτι δ' ἐπεὶ τὸ καλὸν καὶ ζῷον καὶ ἅπαν πρᾶγμα ὃ συνέστηκεν ἐκ τινῶν, οὐ μόνον ταῦτα **τεταγμένα** δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχόν 50 b 36.

ταύτῃ, par là, de cette façon (adv.) : 49 b 11 ; 59 a 30 ; ⟨59 b 36⟩ ; 60 b 35 ; 61 a 34. — Voir οὗτος.

ταχύς, εῖα, ύ, rapide : τὸ γὰρ ὅμοιον **ταχὺ** πληροῦν ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας 59 b 31.

Τεγέα (ἡ), Tégée : ἢ ἐν Μυσοῖς ὁ ἄφωνος ἐκ **Τεγέας** εἰς τὴν Μυσίαν ἥκων 60 a 32 (Eschyle, les *Mysiens* : voir Nauck, p. 47 & Mette, *fr.* 415, p. 153).

τέλειος, α, ον, achevé, accompli, qui forme un tout : ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ **τελείας**, μέγεθος ἐχούσης 49 b 25 ; κεῖται δ' ἡμῖν τὴν τραγῳδίαν τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος 50 b 25 ; ἐπεὶ δὲ οὐ μόνον τελείας ἐστι πράξεως ἡ μίμησις, ἀλλὰ καὶ φοβερῶν καὶ ἐλεεινῶν 52 a 2 ; καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ **τελείαν**, ἔχουσαν ἀρχὴν καὶ μέσα καὶ τέλος 59 a 19.

τελευταῖος, α, ον, dernier : κράτιστον δὲ τὸ **τελευταῖον** · λέγω δὲ οἷον ἐν τῷ Κρεσφόντῃ κ. τ. α. 54 a 5.

τελευτᾶν, finir, achever : δεῖ ἄρα τοὺς συνεστῶτας εὖ μύθους μήθ' ὁπόθεν ἔτυχεν ἄρχεσθαι μήθ' ὅπου ἔτυχε τελευτᾶν 50 b 34 ; ἄρρενα μὲν [sc. ὀνόματα] ὅσα **τελευτᾷ** εἰς τὸ **Ν** καὶ **Ρ** ⟨καὶ Σ⟩ 58 a 10 ; εἰς δὲ ἄφωνον οὐδὲν ὄνομα τελευτᾷ, οὐδὲ εἰς φωνῆεν βραχύ 58 a 15 ; καὶ πολλαὶ αὐτοῦ [sc. Εὐριπίδου τραγῳδίαι] εἰς δυστυχίαν **τελευτῶσιν** 53 a 26 ; δευτέρα δὲ [sc. τραγῳ-

δία]... ἡ διπλῆν τε τὴν σύστασιν ἔχουσα... καὶ **τελευτῶσα** ἐξ ἐναντίας τοῖς βελτίοσι καὶ χείροσιν 53 a 32.

τελευτή (ἡ), fin : τελευτὴ δὲ τοὐναντίον ὃ αὐτὸ μετ' ἄλλο πέφυκεν εἶναι, ἢ ἐξ ἀνάγκης ἢ ὡς ἐπὶ τὸ πολύ, μετὰ δὲ τοῦτο ἄλλο οὐδέν 50 b 30 ; οἷον Ὀρέστης καὶ Αἴγισθος, φίλοι γενόμενοι ἐπὶ **τελευτῆς** ἐξέρχονται, καὶ ἀποθνήσκει οὐδεὶς ὑπ' οὐδενός 53 a 38 ; ὅλον δ' ἐστὶ τὸ ἔχον ἀρχὴν καὶ μέσον καὶ **τελευτήν** 50 b 27.

τέλος (τὸ), fin, achèvement, but (atteint ou à atteindre) : ἡ δὲ εὐδαιμονία καὶ ἡ κακοδαιμονία ἐν πράξει ἐστί, καὶ τὸ τέλος πρᾶξίς τις ἐστίν, οὐ ποιότης 50 a 18 ; ὥστε τὰ πράγματα καὶ ὁ μῦθος τέλος τῆς τραγῳδίας · τὸ δὲ τέλος μέγιστον ἁπάντων 50 a 22 & 23 ; ἄρθρον δ' ἐστὶ φωνὴ ἄσημος ἣ λόγου ἀρχὴν ἢ τέλος ἢ διορισμὸν δηλοῖ 57 a 7 ; περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν, ἔχουσαν ἀρχὴν καὶ μέσα καὶ τέλος 59 a 20 ; οὐδὲν πρὸς τὸ αὐτὸ συντείνουσαι τέλος 59 a 27 ; ἐξ ὧν ἓν οὐδὲν γίνεται τέλος 59 a 29 ; τῷ μηδὲ τὸν πόλεμον, καίπερ ἔχοντα ἀρχὴν καὶ τέλος, ἐπιχειρῆσαι ποιεῖν ὅλον 59 a 32 ; δύνασθαι γὰρ δεῖ συνορᾶσθαι τὴν ἀρχὴν καὶ τὸ τέλος 59 b 20 ; ἀλλ' ὀρθῶς ἔχει, εἰ τυγχάνει τοῦ τέλους τοῦ αὐτῆς (τὸ γὰρ τέλος εἴρηται) 60 b 25* ; εἰ μέντοι τὸ τέλος ἢ μᾶλλον ἢ ⟨μὴ⟩ ἧττον ἐνεδέχετο ὑπάρχειν 60 b 27 ; ἔτι τὸ ἐν ἐλάττονι μήκει τὸ τέλος τῆς μιμήσεως εἶναι 62 a 18 ; λύσιν δὲ τὴν ἀπὸ τῆς ἀρχῆς τῆς μεταβάσεως μέχρι **τέλους** 55 b 29 ; ⟨λύσις δ' ἡ⟩ ἀπὸ τῆς αἰτιάσεως τοῦ θανάτου μέχρι τοῦ τέλους 55 b 32 ; 60 b 25 (*supra*) ; φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον τοῦ τέλους τυγχάνουσα τῆς ἐποποιΐας [sc. ἡ τραγῳδία] 62 b 14.

τέμνειν, couper : ἀπ' εἴδους δὲ ἐπὶ εἶδος, οἷον « χαλκῷ ἀπὸ ψυχὴν ἀρύσας » καὶ « **ταμὼν** ἀτειρέϊ χαλκῷ » · ἐνταῦθα γὰρ τὸ μὲν ἀρύσαι **ταμεῖν**, τὸ δὲ ταμεῖν ἀρύσαι εἴρηκεν · ἄμφω γὰρ ἀφελεῖν τι ἐστίν 57 b 14 & 15* (Empédocle, *fr.* B 138 & 143, D-K, I, p. 368, 3 & 369, 14).

τερατώδης, ης, ες, effrayant, monstrueux, prodigieux : οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως, ἀλλὰ τὸ **τερατῶδες** μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν 53 b 9 ; τὸ δὲ τερατῶδες... οἷον αἵ τε Φορκίδες καὶ Προμηθεὺς καὶ ὅσα ἐν Ἅιδου 56 a 2.

τέσσαρες, ες, α, quatre : τραγῳδίας δὲ εἴδη εἰσὶ **τέσσαρα** 55 b 33. — Voir τέτταρες.

τέταρτος, η, ον, quatrième : **τετάρτη** δὲ [sc. ἀναγνώρισις] ἡ ἐκ συλλογισμοῦ, οἷον ἐν Χοηφόροις 55 a 4 ; **τέταρτον** δὲ τῶν ἐν λόγῳ ἡ λέξις 50 b 13 ; τέταρτον δὲ τὸ ὁμαλόν 54 a 26 ; τέταρτον ὄψιν 56 a 2 *var.* ; τὸ δὲ ἀνάλογον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον · ἐρεῖ γὰρ ἀντὶ τοῦ δευτέρου τὸ τέταρτον ἢ ἀντὶ τοῦ **τετάρτου** τὸ δεύτερον 57 b 17, 18 & 19.

τετράμετρον (τὸ), vers tétramètre : τὸ δὲ ἰαμβεῖον καὶ τετράμετρον κινητικά, καὶ τὸ μὲν ὀρχηστικόν, τὸ δὲ πρακτικόν 59 b 37 ; ὀψὲ ἀπεσεμνύνθη [sc. ἡ τραγῳδία], τό τε μέτρον ἐκ **τετραμέτρου** ἰαμβεῖον ἐγένετο · τὸ μὲν γὰρ πρῶτον **τετραμέτρῳ** ἐχρῶντο διὰ τὸ σατυρικὴν καὶ ὀρχηστικωτέραν εἶναι τὴν ποίησιν 49 a 21 & 22 ; **τετράμετρα** 49 a 27 *var.* (ἑξάμετρα edd.).

τετραπλοῦς, ῆ, οῦν, quadruple, en quatre parties : εἴη δ' ἂν καὶ τριπλοῦν καὶ **τετραπλοῦν** ὄνομα καὶ πολλαπλοῦν οἷον τὰ πολλὰ τῶν Μασσαλιωτῶν 57 a 35.

τέτταρες, ες, α, quatre : περὶ δὲ τὰ ἤθη **τέτταρά** ἐστιν ὧν δεῖ στοχάζεσθαι, ἓν μὲν καὶ πρῶτον ὅπως χρηστὰ ᾖ 54 a 16. — Voir τέσσαρες.

τέχνη (ἡ), métier, activité technique, art, traité : ἔτι δὲ κυριωτέρα περὶ τὴν

ἀπεργασίαν τῶν ὄψεων ἡ τοῦ σκευοποιοῦ τέχνη τῆς τῶν ποιητῶν ἐστιν 50 b 21 ; ὡς δ' οὗτοι ἔχουσι πρὸς αὐτούς, ἡ ὅλη τέχνη πρὸς τὴν ἐποποιΐαν ἔχει 62 a 1 ; οἱ μὲν διὰ **τέχνης**, οἱ δὲ διὰ συνηθείας 47 a 20 ; τοῦ δὲ μήκους ὅρος ⟨ὁ⟩ μὲν πρὸς τοὺς ἀγῶνας καὶ τὴν αἴσθησιν οὐ τῆς τέχνης ἐστίν 51 a 7 ; ζητοῦντες γὰρ οὐκ ἀπὸ τέχνης, ἀλλ' ἀπὸ τύχης εὗρον τὸ τοιοῦτον παρασκευάζειν ἐν τοῖς μύθοις 54 a 10 ; πρὸς δὲ τούτοις οὐχ ἡ αὐτὴ ὀρθότης ἐστὶν τῆς πολιτικῆς καὶ τῆς ποιητικῆς, οὐδὲ ἄλλης τέχνης καὶ ποιητικῆς 60 b 14 ; εἰ οὖν τούτοις τε διαφέρει πᾶσι καὶ ἔτι τῷ τῆς τέχνης ἔργῳ 62 b 12 ; ὁ δ' Ὅμηρος, ὥσπερ καὶ τὰ ἄλλα διαφέρει, καὶ τοῦτ' ἔοικε καλῶς ἰδεῖν, ἤτοι διὰ **τέχνην** ἢ διὰ φύσιν 51 a 24 ; ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεώς ἐστιν 53 a 22 ; ἢ τὸ καθ' ἑκάστην τέχνην ἁμάρτημα, οἷον τὸ κατ' ἰατρικὴν ἢ ἄλλην τέχνην 60 b 20 & 21 ; πρῶτον μὲν τὰ πρὸς αὐτὴν τὴν τέχνην ⟨εἰ⟩ ἀδύνατα πεποίηται, ἡμάρτηται 60 b 23 ; καὶ κατὰ τὴν περὶ τούτων τέχνην 60 b 28 ; τῶν κατὰ τὴν τέχνην ἢ κατ' ἄλλο συμβεβηκός 60 b 30 ; ἢ ὡς παρὰ τὴν ὀρθότητα τὴν κατὰ τέχνην 61 b 24 ; ταύτας μὲν οὖν λέγω τὰς διαφορὰς τῶν **τεχνῶν** ἐν οἷς ποιοῦνται τὴν μίμησιν 47 b 28 ; οὕτω κἀν ταῖς εἰρημέναις **τέχναις** 47 a 21.

τῇ, là (adv.) : « τῇ ῥ' ἔσχετο χάλκεον ἔγχος » 61 a 33 (*Iliade*, XX, 272).

Τηλέγονος (ὁ), Télégonos : ... ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον ὁ Ἀλκμέων ὁ Ἀστυδάμαντος ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ τραυματίᾳ Ὀδυσσεῖ 53 b 33.

Τηλέμαχος (ὁ), Télémaque : οἴονται γὰρ αὐτὸν [sc. τὸν Ἰκάριον] Λάκωνα εἶναι · ἄτοπον οὖν τὸ μὴ ἐντυχεῖν τὸν **Τηλέμαχον** αὐτῷ εἰς Λακεδαίμονα ἐλθόντα 61 b 5.

Τήλεφος (ὁ), Télèphe : νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται, οἷον περὶ Ἀλκμέωνα καὶ Οἰδίπουν καὶ Ὀρέστην καὶ Μελέαγρον καὶ Θυέστην καὶ **Τήλεφον**, καὶ ὅσοις ἄλλοις συμβέβηκεν ἢ παθεῖν δεινὰ ἢ ποιῆσαι 53 a 21.

τηρεῖν, observer : τὸ γὰρ τέλος **τηρεῖται** 60 b 25 *var.* (εἴρηται edd.).

Τηρεύς (ὁ), *Térée*, tragédie de Sophocle : καὶ ἐν τῷ Σοφοκλέους **Τηρεῖ** ἡ τῆς κερκίδος φωνή 54 b 35 (Sophocle : Nauck, p. 261, *fr.* 538 = St. Radt [*Tr. G. F.*, t. IV], p. 444, *fr.* 595).

τιθέναι, poser, placer, établir : ἣν μὴ ἁρμόττει ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὑτόν [sc. σύνδεσμος] 57 a 3 ; οὕτω τὰ τυχόντα ὀνόματα **τιθέασι** 51 b 13 *var.* (ὑποτιθέασι edd.) ; καὶ μὴ ὁμοίας ἱστορίαις τὰς συνθέσεις **θεῖναι** 59 a 22 *var.* (εἶναι edd.) ; ἔτι ἐάν τις ἐφεξῆς **θῇ** ῥήσεις ἠθικὰς καὶ λέξει καὶ διανοίᾳ εὖ πεποιημένας 50 a 29 ; ἂν δὲ θῇ, καὶ φαίνηται εὐλογωτέρως, ἐνδέχεσθαι 60 a 34 ; λέγω δὲ οἷον εἴ τις τὸν Οἰδίπουν **θείη** τὸν Σοφοκλέους ἐν ἔπεσιν ὅσοις ἡ Ἰλιάς 62 b 2 ; φωνὴ ἄσημος... πεφυκυῖα **τίθεσθαι** καὶ ἐπὶ τῶν ἄκρων καὶ ἐπὶ τοῦ μέσου 57 a 9 ; πεποιημένον δ' ἐστὶν ὃ ὅλως μὴ καλούμενον ὑπὸ τινῶν αὐτὸς **τίθεται** ὁ ποιητής 57 b 34 ; δεῖ δὲ τοὺς μύθους συνιστάναι καὶ τῇ λέξει συναπεργάζεσθαι ὅτι μάλιστα πρὸ ὀμμάτων **τιθέμενον** 55 a 24 ; πρὸς δὲ τὸ πλῆθος τραγῳδιῶν τῶν εἰς μίαν ἀκρόασιν **τιθεμένων** 59 b 22 ; εἴη γὰρ ἂν τὰ Ἡροδότου εἰς μέτρα **τεθῆναι**, καὶ οὐδὲν ἧττον ἂν εἴη ἱστορία τις 51 b 2. — Voir ἐκτιθέναι, ἐντιθέναι, προστιθέναι, συντιθέναι, ὑποτιθέναι.

Τιμόθεος (ὁ), Timothée, poète : ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους · ὥσπερ γὰρ Κύκλωπας Τιμόθεος καὶ Φιλόξενος, μιμήσαιτο ἄν τις 48 a 15.

τίς ; τίς ; τί ; qui? quel? lequel? (interrogatif direct ou indirect) :
τίς ; 49 b 4 (τίς δὲ... ἀπέδωκεν) ; 52 b 5 (ἅτερος τίς ἐστιν) ;
τί ; 48 b 16 (τί ἕκαστον) ; 51 b 11* (τί... ἔπραξεν ἢ τί ἔπαθεν) ; 53 b 26

(τί λέγομεν) ; 54 b 19 (ἀναγνώρισις δὲ τί μέν ἐστιν) ; 56 a 30 (τί διαφέρει) ; 56 b 7 (τί γὰρ ἂν εἴη), 11* (οἷον τί ἐντολὴ καὶ τί εὐχή) & 15 (τί γὰρ ἂν...) ; 62 b 16 (τί διαφέρει) ;

τίνες ; (fém.) 48 b 3 (καὶ πόσαι καὶ τίνες) ; 62 b 17 (τίνες αἰτίαι).

τις, τις, τι, quelqu'un, on, quelque, en quelque sorte (indéfini) :

τις 47 b 11 (εἴ τις) & 20 (*id.*) ; 48 a 16 (ἄν τις) & 20 (*id.*) ; 50 a 29 (ἐάν τις) ; 50 b 1 (εἰ γάρ τις) ; 52 a 36 (εἰ πέπραγέ τις) ; 53 b 6 (ἂν πάθοι τις) ; 54 a 26 (ἀνώμαλός τις) ; 55 a 5 (ὅμοιός τις) & 12 (δέ τις) ; 56 a 13 (εἴ τις) ; 56 b 15 (ἄν τις) ; 58 a 24 (ἄν τις) ; 58 b 8 (εἴ τις), 18 (ἄν) τις & 26 (εἴ τις) ; 59 a 13 (κἂν ἐν λόγοις τις) ; 59 b 32 (εἰ γάρ τις) ; 60 a 2 (εἰ μιγνύοι τις) ; 60 b 8 (ἤ τις ἄλλος) ; 61 a 35 (ἄν τις) ; 61 b 27 (*id.*) ; 62 b 2 (εἴ τις) ;

τις (fém.) 50 a 8 (ποιά τις) & 19 (πρᾶξίς τις ἐστίν) ; 50 b 9 (ὁποῖά τις) ; 51 b 3 (ἱστορία τις) ; 55 a 12 (ἔστι δέ τις καὶ συνθετὴ...) ; 62 a 12 (ὁποία τις) ;

τι (nom. & acc.) 47 b 16 ; 48 a 21 ; 49 a 34 & 35 ; 49 b 32 ; 50 a 7 ; 50 b 11, 12, 13, 26 & 39 ; 53 b 21 & 35 ; 54 a 22 *var.* ; 54 b 34 ; 55 a 1 ; 55 b 8 ; 56 b 12, 14 (ὅ τι) & 17 ; 57 a 24 & 27 ; 57 b 11, 16 & 32 ; 58 a 3 ; 59 b 23 ; 60 a 10 ; 60 b 10 & 17 ; 61 a 20 & 32* ; 61 b 1 ;

τινος (masc.) 55 b 17 (ἀποδημοῦντός τινος) ;

τινος (fém.) 55 b 3 (τυθείσης τινὸς κόρης) ;

τινος (neut.) 51 a 33 (μετατιθεμένου τινὸς μέρους) ;

τινι (masc.) 61 a 5 (εἴρηταί τινι ἢ πέπρακται) ;

τινι (neut.) 47 b 8 (ἑνί τινι γένει) ; 59 b 33 (ἐν ἄλλῳ τινὶ μέτρῳ) ;

τινα (fém.) 47 a 8 (ἥν τινα) ; 48 b 19 (τινὰ ἄλλην αἰτίαν) ; 50 b 23 (ποίαν τινὰ) ; 53 a 10 (ἁμαρτίαν τινά) ; 54 a 19 (προαίρεσίν τινα) ; 55 b 7 (διά τιν' αἰτίαν) ; 56 b 29 (τινὰ φωνὴν) ;

τινες (masc.) 47 a 19 (μιμοῦνταί τινες) ; 48 a 29 (καλεῖσθαί τινες αὐτά φασιν) ; 50 a 19 (ποιοί τινες) ; 51 a 16 (ὥσπερ τινὲς οἴονται) ; 53 a 13 (ὥσπερ τινές φασιν) ;

τινες (fém.) 47 a 24 (κἂν εἴ τινες ἕτεραι) ; 47 b 24 (εἰσὶ δέ τινες αἵ) ; 48 b 5 (αἰτίαι δύο τινες) ;

τινα (acc.) 49 b 3 (σχήματά τινα) ;

τινῶν (masc.) 49 b 37 (ὑπὸ τινῶν πραττόντων) ; 52 b 3 (ἡ ἀναγνώρισις τινῶν ἐστιν ἀναγνώρισις) ; 53 a 31 (ὑπὸ τινῶν) ; 57 b 34 (*id.*) ;

τινῶν (neut.) 47 b 12 (τῶν ἄλλων τινῶν τῶν τοιούτων) ; 50 b 36 (συνέστηκεν ἐκ τινῶν) ;

τινας (masc.) 49 b 37 (ποιούς τινας) ; 50 a 5 (*id.*) ; 54 a 14 (ποίους τινὰς) ; 55 b 22 (ἀναγνωρίσας τινάς) ;

τινας (fém.) 50 a 1 (τὰς πράξεις... ποιάς τινας).

τοί, assurément : particule citée en 57 a 4 comme exemple de σύνδεσμος (conjonction, particule, préposition, mot de liaison) : φωνὴ ἄσημος... ἣν μὴ ἁρμόττει ἐν ἀρχῇ λόγου τιθέναι καθ' αὐτόν, οἷον μέν, ⟨δ⟩ή, τοί, δέ 57 a 4 ; « ὅς ῥ' ἤ τοι εἶδος μὲν ἔην κακός » 61 a 12 (*Iliade*, X, 316). — Voir ἤτοι, μέντοι.

τοιγαροῦν, ainsi donc : τοιγαροῦν ἐκ μὲν 'Ιλιάδος καὶ 'Οδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι 59 b 2.

τοίνυν, donc, ainsi donc : ἐρεῖ τοίνυν τὴν φιάλην... ἐρεῖ τοίνυν τὴν ἑσπέραν... 57 b 21 & 23.

τοιοῦτος, τοιαύτη, τοιοῦτον (τοιοῦτο), tel, tel que voici, de ce genre-ci :

τοιοῦτος 53 a 7 (ἔστι δὲ τοιοῦτος ὁ μήτε... μήτε...) ;

τοιαύτη 52 a 38 ; 53 a 3 ; 61 b 28, 33 & 35 ;
τοιοῦτον (neut., nom. & acc.) 48 b 28 ; 50 b 8 ; 53 b 21 ; 54 a 11 & 27 ; 56 b 13 ;
τοιαύτης 52 b 33 ;
τοιούτου (neut.) 56 a 30 ;
τοιούτῳ (masc.) 58 b 6 (τῷ τοιούτῳ τρόπῳ) ;
τοιοῦτον (masc.) 54 a 35* (τὸν τοιοῦτον τὰ τοιαῦτα λέγειν) ;
τοιαύτην 48 b 19 ; 56 b 10 ;
τοιοῦτοι 50 a 26 (ποιηταὶ πολλοὶ τοιοῦτοι) ;
τοιαῦται 47 a 25 ; 51 b 35 ; 52 a 14 ; 53 a 28 ; 54 b 29 ; 55 a 21 ;
τοιαῦτα (nom. & acc.) 48 b 30 ; 49 b 5 ; 51 a 21 ; 51 b 31 ; 52 a 9 ; 52 b 13 ; 54 a 13 & 35 ; 54 b 12 ; 56 b 1 ; 57 a 20 ; 57 b 35 ; 58 a 24 & 30 ; 59 a 2, 3 & 14 ; 62 b 8 ;
τοιούτων (masc.) 48 b 26 (τὰς [sc. πρᾶξεις] τῶν τοιούτων) ;
τοιούτων (neut.) 47 b 12 ; 49 b 27 ; 52 b 2 ; 53 a 11 ;
τοιούτους 48 a 5 ; 52 a 10 ; 54 b 13 ; 60 a 34 ; 61 b 12 ;
τοιαύτας 53 b 16 (τὰς τοιαύτας πράξεις).

τόξον (τὸ), arc : τὸ μὲν γὰρ τὸ **τόξον** ἐντείνειν, ἄλλον δὲ μηδένα, πεποιημένον ὑπὸ τοῦ ποιητοῦ καὶ ὑπόθεσις, καὶ εἴ γε τὸ τόξον ἔφη γνώσεσθαι ὃ οὐχ ἑωράκει 55 a 14 & 16.

τόπος (ὁ), lieu : καὶ ἡ [sc. ἀναγνώρισις] ἐν τοῖς Φινείδαις · ἰδοῦσαι γὰρ τὸν **τόπον** συνελογίσαντο τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς · καὶ γὰρ ἐξετέθησαν ἐνταῦθα 55 a 10 ; ταῦτα δὲ [sc. τὰ στοιχεῖα] διαφέρει σχήμασί τε τοῦ στόματος καὶ **τόποις** καὶ δασύτητι καὶ ψιλότητι κ. τ. α. 56 b 31.

τοσοῦτος, τοσαύτη, τοσοῦτο(ν), aussi grand, aussi important (que) : πλὴν **τοσοῦτον** διαφέρει, ὅτι τὰ μέν... τὰ δέ... 56 b 4 ; περὶ μὲν οὖν τούτων **τοσαῦτα** 49 a 29 *var.* ; τοσαῦτα γὰρ καὶ τὰ μέρη ἐλέχθη 55 b 33 (interpol. ?) ; εἰρήσθω τοσαῦτα 62 b 18.

τότε, alors : οὕτω γὰρ **τότ'** ἐνόμιζον, ὥσπερ καὶ νῦν Ἰλλυριοί 61 a 3.

τοὐναντίον, le contraire, au contraire : 50 a 20 ; 50 b 30 ; 52 a 26 ; 53 a 14 : voir ἐναντίος.

τοὔνομα, le nom : ὥσπερ καὶ τοὔνομα σημαίνει 52 a 30 : voir ὄνομα.

τραγικός, ή, όν, tragique : πότερον δὲ βελτίων ἡ ἐποποιϊκὴ μίμησις ἢ ἡ **τραγική**, διαπορήσειεν ἄν τις 61 b 26 ; τό τε γὰρ μιαρὸν ἔχει, καὶ οὐ **τραγικόν** · ἀπαθὲς γάρ 53 b 39 ; τραγικὸν γὰρ τοῦτο καὶ φιλάνθρωπον 56 a 21 ; τὴν δὲ **τραγικὴν** πρὸς φαύλους [sc. θεατάς] 62 a 3 ; καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ οἰκονομεῖ, ἀλλὰ **τραγικώτατός** γε τῶν ποιητῶν φαίνεται 53 a 29 ; ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων **τραγικώταται** αἱ τοιαῦται φαίνονται, ἂν κατορθωθῶσιν 53 a 27.

τραγῳδία (ἡ), tragédie [déf. : 49 b 24-31] ; ὥσπερ ἥ τε τῶν διθυραμβικῶν ποίησις καὶ ἡ τῶν νόμων καὶ ἥ τε τραγῳδία καὶ ἡ κωμῳδία 47 b 26 ; ἐν δὲ τῇ αὐτῇ διαφορᾷ καὶ ἡ τραγῳδία πρὸς τὴν κωμῳδίαν διέστηκεν · ἡ μὲν γὰρ χείρους, ἡ δὲ βελτίους μιμεῖσθαι βούλεται τῶν νῦν 48 a 16 ; τὸ μὲν οὖν ἐπισκοπεῖν ἄρ' ἔχει ἤδη ἡ τραγῳδία τοῖς εἴδεσιν ἱκανῶς ἢ οὔ, αὐτό τε καθ' αὑτὸ κρῖναι καὶ πρὸς τὰ θέατρα, ἄλλος λόγος 49 a 7 ; γενομένης δ' οὖν ἀπ' ἀρχῆς αὐτοσχεδιαστικῆς... κατὰ μικρὸν ηὐξήθη, προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς, καὶ πολλὰς μεταβολὰς μεταβαλοῦσα ἡ τραγῳδία ἐπαύσατο, ἐπεὶ ἔσχε τὴν αὑτῆς φύσιν 49 a 15 ; ἔστιν οὖν τραγῳδία μίμησις πράξεως σπουδαίας καὶ τελείας, μέγεθος ἐχούσης, ἡδυσμένῳ λόγῳ, χωρὶς ἑκάστῳ τῶν εἰδῶν ἐν τοῖς μορίοις, δρώντων καὶ οὐ δι' ἀπαγγελίας, δι' ἐλέου καὶ φόβου περαίνουσα τὴν τῶν τοιούτων παθημάτων κάθαρσιν 49 b 24 ; ἀνάγκη

οὖν πάσης τραγῳδίας μέρη εἶναι ἕξ, καθ' ἃ ποιά τις ἐστὶν ἡ τραγῳδία 50 a 8 & 9 ; ἡ γὰρ τραγῳδία μίμησίς ἐστιν οὐκ ἀνθρώπων, ἀλλὰ πράξεως καὶ βίου καὶ εὐδαιμονίας ⟨καὶ κακοδαιμονίας⟩ 50 a 16 ; ἔτι ἄνευ μὲν πράξεως οὐκ ἂν γένοιτο τραγῳδία, ἄνευ δὲ ἠθῶν γένοιτ' ἄν 50 a 24 ; ἔτι ἐάν τις ἐφεξῆς θῇ ῥήσεις ἠθικὰς καὶ λέξει καὶ διανοίᾳ εὖ πεποιημένας, οὐ ποιήσει ὃ ἦν τῆς τραγῳδίας ἔργον, ἀλλὰ πολὺ μᾶλλον ἡ καταδεεστέροις τούτοις κεχρημένη τραγῳδία, ἔχουσα δὲ μῦθον καὶ σύστασιν πραγμάτων. Πρὸς δὲ τούτοις τὰ μέγιστα οἷς ψυχαγωγεῖ ἡ τραγῳδία, τοῦ μύθου μέρη ἐστίν, αἵ τε περιπέτειαι καὶ ἀναγνωρίσεις 50 a 30, 32 & 34 ; ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον, οἵων πράξεων ἡ τραγῳδία μίμησις ὑπόκειται 52 b 1 ; ἡ μὲν οὖν κατὰ τὴν τέχνην καλλίστη τραγῳδία ἐκ ταύτης τῆς συστάσεώς ἐστιν 53 a 23 ; ἐπεὶ δὲ μίμησίς ἐστιν ἡ τραγῳδία βελτιόνων ἢ ἡμεῖς, δεῖ μιμεῖσθαι τοὺς ἀγαθοὺς εἰκονογράφους 54 b 8 ; τοιγαροῦν ἐκ μὲν 'Ιλιάδος καὶ 'Οδυσσείας μία τραγῳδία ποιεῖται ἑκατέρας ἢ δύο μόναι 59 b 3 ; ἡ μὲν οὖν τραγῳδία τοιαύτη ἐστίν, ὡς καὶ οἱ πρότερον τοὺς ὑστέρους αὐτῶν ᾤοντο ὑποκριτάς 61 b 32 ; ἔτι ἡ τραγῳδία καὶ ἄνευ κινήσεως ποιεῖ τὸ αὑτῆς, ὥσπερ ἡ ἐποποιΐα 62 a 10 ; ἐποποιΐα δὴ καὶ ἡ τῆς **τραγῳδίας** ποίησις, ἔτι δὲ κωμῳδία καὶ ἡ διθυραμβοποιητικὴ καὶ τῆς αὐλητικῆς ἡ πλείστη καὶ κιθαριστικῆς, πᾶσαι τυγχάνουσιν οὖσαι μιμήσεις τὸ σύνολον. Διαφέρουσι δὲ ἀλλήλων τρισὶν 47 a 13 ; διὸ καὶ ἀντιποιοῦνται τῆς τε τραγῳδίας καὶ τῆς κωμῳδίας οἱ Δωριεῖς · τῆς μὲν κωμῳδίας οἱ Μεγαρεῖς... καὶ τῆς τραγῳδίας ἔνιοι τῶν ἐν Πελοποννήσῳ 48 a 30 & 34 ; παραφανείσης δὲ τῆς τραγῳδίας καὶ κωμῳδίας, οἱ ἐφ' ἑκατέραν τὴν ποίησιν ὁρμῶντες κατὰ τὴν οἰκείαν φύσιν... 49 a 2 ; αἱ μὲν οὖν τῆς τραγῳδίας μεταβάσεις, καὶ δι' ὧν ἐγένοντο, οὐ λελήθασιν, ἡ δὲ κωμῳδία διὰ τὸ μὴ σπουδάζεσθαι ἐξ ἀρχῆς ἔλαθεν 49 a 36 ; μέρη δ' ἐστὶ τὰ μὲν ταὐτά, τὰ δὲ ἴδια τῆς τραγῳδίας. Διόπερ ὅστις περὶ τραγῳδίας οἶδε σπουδαίας καὶ φαύλης, οἶδε καὶ περὶ ἐπῶν 49 b 17* ; περὶ δὲ τραγῳδίας λέγωμεν, ἀπολαβόντες αὐτῆς ἐκ τῶν εἰρημένων τὸν γινόμενον ὅρον τῆς οὐσίας 49 b 22 ; ἐπεὶ δὲ πράττοντες ποιοῦνται τὴν μίμησιν, πρῶτον μὲν ἐξ ἀνάγκης ἂν εἴη τι μόριον τραγῳδίας ὁ τῆς ὄψεως κόσμος, εἶτα μελοποιΐα καὶ λέξις 49 b 32 ; 50 a 8 (*supra*) ; ὥστε τὰ πράγματα καὶ ὁ μῦθος τέλος τῆς τραγῳδίας · τὸ δὲ τέλος μέγιστον ἁπάντων 50 a 23 ; 50 a 30 (*supra*) ; ἀρχὴ μὲν οὖν καὶ οἷον ψυχὴ ὁ μῦθος τῆς τραγῳδίας, δεύτερον δὲ τὰ ἤθη 50 a 38 ; ἡ γὰρ τῆς τραγῳδίας δύναμις καὶ ἄνευ ἀγῶνος καὶ ὑποκριτῶν ἐστιν 50 b 19 ; λέγωμεν μετὰ ταῦτα ποίαν τινὰ δεῖ τὴν σύστασιν εἶναι τῶν πραγμάτων, ἐπειδὴ τοῦτο καὶ πρῶτον καὶ μέγιστον τῆς τραγῳδίας ἐστίν 50 b 24 ; ἐπὶ δὲ τῆς τραγῳδίας τῶν γενομένων ὀνομάτων ἀντέχονται 51 b 15 ; μέρη δὲ τραγῳδίας οἷς μὲν ὡς εἴδεσι δεῖ χρῆσθαι πρότερον εἴπομεν 52 b 14 ; ἔστι δὲ πρόλογος μὲν μέρος ὅλον τραγῳδίας τὸ πρὸ χοροῦ παρόδου, ἐπεισόδιον δὲ μέρος ὅλον τραγῳδίας τὸ μεταξὺ ὅλων χορικῶν μελῶν, ἔξοδος δὲ μέρος ὅλον τραγῳδίας μεθ' ὃ οὐκ ἔστι χοροῦ μέλος 52 b 19, 20 & 21 ; μέρη δὲ τραγῳδίας... πρότερον εἴπομεν 52 b 25 ; καὶ πόθεν ἔσται τὸ τῆς τραγῳδίας ἔργον, ἐφεξῆς ἂν εἴη λεκτέον τοῖς νῦν εἰρημένοις 52 b 29 ; ἐπείδη οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας μὴ ἁπλῆν, ἀλλὰ πεπλεγμένην 52 b 31 ; ἔστι δὲ οὐχ αὕτη ⟨ἡ⟩ ἀπὸ τραγῳδίας ἡδονή, ἀλλὰ μᾶλλον τῆς κωμῳδίας οἰκεία 53 a 35 ; οὐ γὰρ πᾶσαν δεῖ ζητεῖν ἡδονὴν ἀπὸ τραγῳδίας, ἀλλὰ τὴν οἰκείαν 53 b 11 ; ἄλογον δὲ μηδὲν εἶναι ἐν τοῖς πράγμασιν, εἰ δὲ μή, ἔξω τῆς τραγῳδίας, οἷον τὸ ἐν τῷ Οἰδίποδι τῷ Σοφοκλέους 54 b 7 ; ἔστι δὲ πάσης τραγῳδίας τὸ μὲν δέσις, τὸ δὲ λύσις 55 b 24 ; τραγῳδίας δὲ εἴδη εἰσὶ τέσσαρα 55 b 33 ; τοῖς δὲ πολλοῖς τὰ ᾀδόμενα οὐδὲν μᾶλλον τοῦ μύθου ἢ ἄλλης τραγῳδίας ἐστίν 56 a 29 ; περὶ μὲν οὖν τραγῳδίας καὶ τῆς ἐν τῷ πράττειν μιμήσεως ἔστω ἡμῖν ἱκανὰ τὰ εἰρημένα 59 a 15 ; περὶ μὲν οὖν τραγῳδίας καὶ ἐποποιΐας... εἰρήσθω το-

σαῦτα 62 b 15 ; ἡ μὲν οὖν ἐποποιΐα τῇ **τραγῳδίᾳ** μέχρι μὲν τοῦ μετὰ μέτρου μίμησις εἶναι σπουδαίων ἠκολούθησεν 49 b 9 ; ἃ μὲν γὰρ ἐποποιΐα ἔχει, ὑπάρχει τῇ τραγῳδίᾳ, ἃ δὲ αὐτή, οὐ πάντα ἐν τῇ ἐποποιΐᾳ 49 b 19 ; οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν 53 b 10 ; τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος, ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον... 53 b 32 ; ἔτι δὲ τὰ εἴδη ταὐτὰ δεῖ ἔχειν τὴν ἐποποιΐαν τῇ τραγῳδίᾳ 59 b 9 ; διὰ τὸ ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα πολλὰ μέρη μιμεῖσθαι 59 b 24 ; κεῖται δ' ἡμῖν τὴν **τραγῳδίαν** τελείας καὶ ὅλης πράξεως εἶναι μίμησιν, ἐχούσης τι μέγεθος 50 b 25 ; δίκαιον δὲ καὶ τραγῳδίαν ἄλλην καὶ τὴν αὐτὴν λέγειν οὐδὲν ἴσως τῷ μύθῳ 56 a 7 ; χρὴ δὲ... μὴ ποιεῖν ἐποποιϊκὸν σύστημα τραγῳδίαν 56 a 12 ; αἱ γὰρ τῶν νέων τῶν πλείστων ἀήθεις **τραγῳδίαι** εἰσί, καὶ ὅλως ποιηταὶ πολλοὶ τοιοῦτοι 50 a 25 ; ὥστ' οὐ πάντως εἶναι ζητητέον τῶν παραδεδομένων μύθων, περὶ οὓς αἱ τραγῳδίαι εἰσίν, ἀντέχεσθαι 51 b 24 ; νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται οἷον περὶ... 53 a 19 ; διὰ γὰρ τοῦτο, ὅπερ πάλαι εἴρηται, οὐ περὶ πολλὰ γένη αἱ τραγῳδίαι εἰσίν 54 a 10 ; σημεῖον δέ · ἐκ γὰρ ὁποιασοῦν μιμήσεως πλείους τραγῳδίαι γίνονται 62 b 5 ; πρὸς δὲ τὸ πλῆθος **τραγῳδιῶν** τῶν εἰς μίαν ἀκρόασιν τιθεμένων παρήκοιεν 59 b 21 ; καίτοι τὸ πρῶτον ὁμοίως ἐν ταῖς **τραγῳδίαις** τοῦτο ἐποίουν καὶ ἐν τοῖς ἔπεσιν 49 b 15 ; οὐ μὴν ἀλλὰ καὶ ἐν ταῖς τραγῳδίαις ἐνίαις μὲν ἓν ἢ δύο τῶν γνωρίμων ἐστὶν ὀνομάτων, τὰ δὲ ἄλλα πεποιημένα, ἐν ἐνίαις δὲ οὐθέν 51 b 19 ; διὸ καὶ οἱ Εὐριπίδῃ ἐγκαλοῦντες τοῦτ' αὐτὸ ἁμαρτάνουσιν ὅτι τοῦτο δρᾷ ἐν ταῖς τραγῳδίαις καὶ πολλαὶ αὐτοῦ εἰς δυστυχίαν τελευτῶσιν 53 a 25 ; ὅτι δεῖ τοὺς μύθους καθάπερ ἐν ταῖς τραγῳδίαις συνιστάναι δραματικούς, καὶ περὶ μίαν πρᾶξιν ὅλην καὶ τελείαν 59 a 18 ; δεῖ μὲν οὖν ἐν ταῖς τραγῳδίαις ποιεῖν τὸ θαυμαστόν, μᾶλλον δ' ἐνδέχεται ἐν τῇ ἐποποιΐᾳ τὸ ἄλογον 60 a 12 ; ὁ γὰρ Μαργίτης ἀνάλογον ἔχει, ὥσπερ Ἰλιὰς καὶ Ὀδύσσεια πρὸς τὰς **τραγῳδίας**, οὕτω καὶ οὗτος πρὸς τὰς κωμῳδίας 49 a 1 ; εἰ γὰρ ἔδει ἑκατὸν τραγῳδίας ἀγωνίζεσθαι, πρὸς κλεψύδρας ἂν ἠγωνίζοντο, ὥσπερ ποτὲ καὶ ἄλλοτέ φασιν 51 a 8 ; τὸ γὰρ ὅμοιον ταχὺ πληροῦν ἐκπίπτειν ποιεῖ τὰς τραγῳδίας 59 b 31. — Voir μέτρον, κωμῳδία, ὀκτώ, ὀψέ, τετράμετρον, κ. τ. α.

τραγῳδοδιδάσκαλος (ὁ), poète tragique, metteur en scène de représentations tragiques : οἱ μὲν ἀντὶ τῶν ἰάμβων κωμῳδοποιοὶ ἐγένοντο, οἱ δὲ ἀντὶ τῶν ἐπῶν **τραγῳδοδιδάσκαλοι**, διὰ τὸ μείζονα καὶ ἐντιμότερα τὰ σχήματα εἶναι ταῦτα ἐκείνων 49 a 5.

τραγῳδός (ὁ), poète tragique, tragédien : ἔτι δὲ Ἀρειφράδης τοὺς **τραγῳδοὺς** ἐκωμῴδει, ὅτι ἃ οὐδεὶς ἂν εἴποι ἐν τῇ διαλέκτῳ, τούτοις χρῶνται, οἷον τὸ... 58 b 32.

τράπεζα (ἡ), table : καὶ « δίφρον ἀεικέλιον καταθεὶς ὀλίγην τε **τράπεζαν** » · « δίφρον μοχθηρὸν καταθεὶς μικράν τε τράπεζαν » 58 b 29 & 30 (*Odyssée*, XX, 259 : le vers d'Homère suivi de sa transposition en langage courant).

τραυματίας Ὀδυσσεύς (ὁ), *Ulysse blessé* ou la *Blessure d'Ulysse*, titre d'une tragédie perdue : ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν... τοῦτο μὲν οὖν ἔξω τοῦ δράματος, ἐν δ' αὐτῇ τῇ τραγῳδίᾳ, οἷον ὁ Ἀλκμέων ὁ Ἀστυδάμαντος, ἢ ὁ Τηλέγονος ὁ ἐν τῷ **τραυματίᾳ Ὀδυσσεῖ** 53 b 34 (tragédie attribuée à Sophocle : Nauck, p. 230 & St. Radt [*Tr. G. F.*, t. IV], p. 375).

τρεῖς, τρεῖς, τρία, trois : **τρεῖς** δὲ [sc. ὑποκριτὰς] καὶ σκηνογραφίαν Σοφοκλῆς 49 a 18 ; οἷς μὲν γὰρ μιμοῦνται, δύο μέρη ἐστίν, ὡς δὲ μιμοῦνται, ἕν, ἃ δὲ μιμοῦνται, **τρία**, καὶ παρὰ ταῦτα οὐδέν 50 a 11 ; εἰς δὲ τὸ Ι τρία μόνα

[sc. ὀνόματα τελευτᾷ], μέλι, κόμμι, πέπερι 58 a 16 ; ἀνάγκη μιμεῖσθαι **τριῶν** ὄντων τὸν ἀριθμὸν ἕν τι ἀεί · ἢ γὰρ... ἢ... ἢ... 60 b 9 ; ἐν **τρισὶ** δὴ ταύταις διαφοραῖς ἡ μίμησίς ἐστιν 48 a 24 ; διαφέρουσι δὲ ἀλλήλων **τρισίν** 47 a 16.

τρίμετρον (τὸ), trimètre : οὐδὲ εἴ τις διὰ **τριμέτρων** ἢ ἐλεγείων ἢ τῶν ἄλλων τινῶν τῶν τοιούτων ποιοῖτο τὴν μίμησιν 47 b 11.

τριπλοῦς, ῆ, οῦν, triple, en trois parties : εἴη δ' ἂν καὶ **τριπλοῦν** καὶ τετραπλοῦν ὄνομα καὶ πολλαπλοῦν οἷον τὰ πολλὰ τῶν Μασσαλιωτῶν 57 a 35.

τρίτος, η, ον, troisième : ἔτι δὲ τούτων **τρίτη** διαφορά, τὸ ὡς ἕκαστα τούτων μιμήσαιτο ἄν τις 48 a 19 ; ἡ τρίτη δὲ [sc. ἀναγνώρισις] διὰ μνήμης, τῷ αἰσθέσθαι τι ἰδόντα 54 b 36 ; **τρίτον** δὲ ἡ διάνοια 50 b 4 ; τρίτον δὲ πάθος 52 b 10 ; τρίτον δὲ τὸ ὅμοιον 54 a 23 ; τὸ δὲ ἀνάλογον λέγω, ὅταν ὁμοίως ἔχῃ τὸ δεύτερον πρὸς τὸ πρῶτον καὶ τὸ τέταρτον πρὸς τὸ τρίτον 57 b 18.

τρόπος (ὁ), tour, manière, méthode : ἔστι δὲ τῷ **τρόπῳ** τούτῳ τῆς μεταφορᾶς χρῆσθαι καὶ ἄλλως 57 b 30 ; ὥστε οὐκ ὀρθῶς ψέγουσιν οἱ ἐπιτιμῶντες τῷ τοιούτῳ τρόπῳ τῆς διαλέκτου καὶ διακωμῳδοῦντες τὸν ποιητήν 58 b 6 ; τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ γελοῖον, τὸ δὲ μέτριον κοινὸν ἁπάντων ἐστὶ τῶν μερῶν 58 b 12 ; ἢ γὰρ τῷ ἐν ἑτέροις μιμεῖσθαι, ἢ τῷ ἕτερα, ἢ τῷ ἑτέρως καὶ μὴ τὸν αὐτὸν **τρόπον** 47 a 18 ; περὶ μὲν οὖν τούτων διωρίσθω τοῦτον τὸν τρόπον 47 b 24 ; καὶ ἔσται ἑτέρα τῷ ἕτερα μιμεῖσθαι τοῦτον τὸν τρόπον 48 a 9.

τροφός (ἡ), nourrice : ἔστι δὲ καὶ τούτοις χρῆσθαι ἢ βέλτιον ἢ χεῖρον, οἷον 'Οδυσσεὺς διὰ τῆς οὐλῆς ἄλλως ἀνεγνωρίσθη ὑπὸ τῆς **τροφοῦ** καὶ ἄλλως ὑπὸ τῶν συβοτῶν 54 b 27 (cf. *Odyssée*, XIX, 386 s. & XXI, 205 s.).

τροχαῖος [sc. πούς] (ὁ), trochée, vers trochaïque : στάσιμον δὲ μέλος χοροῦ τὸ ἄνευ ἀναπαίστου καὶ **τροχαίου** 52 b 24.

Τρῳάδες (αἱ), les *Troyennes*, tragédie d'Euripide : καὶ ἐκ τῆς μικρᾶς 'Ιλιάδος πλέον ὀκτώ, οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, 'Ιλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 7.

Τρωϊκός, ή, όν, de Troie, troyen : « ἤτοι ὅτ' ἐς πεδίον τὸ **Τρωϊκὸν** ἀθρήσειεν, αὐλῶν συρίγγων θ' ὅμαδον » 61 a 18 (*Iliade*, X, 11 & 13).

τρῶσις (ἡ), blessure : πάθος δ' ἐστὶ πρᾶξις φθαρτικὴ ἢ ὀδυνηρά, οἷον οἵ τε ἐν τῷ φανερῷ θάνατοι καὶ αἱ περιωδυνίαι καὶ **τρώσεις** καὶ ὅσα τοιαῦτα 52 b 13.

τυγχάνειν, rencontrer, trouver, obtenir : ⟨ἀνώνυμος⟩ **τυγχάνει** οὖσα μέχρι τοῦ νῦν 47 b 9 ; ἀλλ' ὀρθῶς ἔχει, εἰ τυγχάνει τοῦ τέλους τοῦ αὑτῆς 60 b 24 ; πᾶσαι **τυγχάνουσιν** οὖσαι μιμήσεις τὸ σύνολον 47 a 15 ; κἂν εἴ τινες ἕτεραι τυγχάνουσιν οὖσαι τοιαῦται τὴν δύναμιν 47 a 25 ; πέφυκεν αἴτια δύο τῶν πράξεων εἶναι, διάνοιαν καὶ ἦθος, καὶ κατὰ ταύτας καὶ τυγχάνουσι καὶ ἀποτυγχάνουσι πάντες 50 a 3 ; **τυγχάνουσα** 47 b 9 *var.* (τυγχάνει οὖσα edd.) ; φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον τοῦ τέλους τυγχάνουσα τῆς ἐποποιΐας [sc. ἡ τραγῳδία] 62 b 14 ; δεῖ ἄρα τοὺς συνεστῶτας εὖ μύθους μήθ' ὁπόθεν **ἔτυχεν** ἄρχεσθαι μήθ' ὅπου ἔτυχε τελευτᾶν, ἀλλὰ κεχρῆσθαι ταῖς εἰρημέναις ἰδέαις 50 b 33 & 34 ; ὧν ἕκαστον ὡς ἔτυχεν ἔχει πρὸς ἄλληλα 59 a 24 ; ἴσως γὰρ οὔτε βέλτιον λέγειν, οὔτ' ἀληθῆ, ἀλλ' ἔτυχεν ὥσπερ Ξενοφάνει · ἀλλ' οὖν φασι 61 a 1 ; ἐπεὶ ἐὰν μὴ **τύχῃ** προεωρακώς 48 b 17 ; ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ **τυχόν** 50 b 37 ; δεῖ γὰρ οὐ τὴν **τυχοῦσαν** ἡδονὴν ποιεῖν αὐτάς, ἀλλὰ τὴν εἰρημένην 62 b 13 ; συστήσαντες γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων οὕτω τὰ **τυχόντα** ὀνόματα ὑποτιθέασι 51 b 13 ; καὶ γὰρ πρὸς ἄψυχα καὶ τὰ τυχόντα ἔστιν ὡς ⟨ὅ⟩περ εἴρηται συμβαίνει 52 a 35 ;

πρῶτον μὲν γὰρ οἱ ποιηταὶ τοὺς **τυχόντας** μύθους ἀπηρίθμουν, νῦν δὲ περὶ ὀλίγας οἰκίας αἱ κάλλισται τραγῳδίαι συντίθενται 53 a 18.

Τυδεύς (ὁ), *Tydée*, héros & titre d'une tragédie de Théodecte : καὶ ἐν τῷ Θεοδέκτου **Τυδεῖ**, ὅτι ἐλθὼν ὡς εὑρήσων υἱὸν αὐτὸς ἀπόλλυται 55 a 9 (Nauck, p. 803 & Snell [*Tr. G. F.*, t. I], p. 233, *fr.* 5 a).

Τυρώ (ἡ), *Tyro*, héroïne & titre d'une tragédie perdue de Sophocle : τούτων δὲ [sc. τῶν σημείων] τὰ μὲν σύμφυτα..., τὰ δὲ ἐπίκτητα, καὶ τούτων τὰ μὲν ἐν σώματι, οἷον οὐλαί, τὰ δὲ ἐκτός, οἷον τὰ περιδέραια, καὶ οἷα ἐν τῇ **Τυροῖ** διὰ τῆς σκάφης 54 b 25 (Nauck, p. 272 & St. Radt [*Tr. G. F.*, t. IV], p. 467, *fr.* 657).

τύχη (ἡ), hasard, sort, circonstance fortuite, chance : τὸ γὰρ θαυμαστὸν οὕτως ἕξει μᾶλλον ἢ εἰ ἀπὸ τοῦ αὐτομάτου καὶ τῆς **τύχης** (ἐπεὶ καὶ τῶν ἀπὸ τύχης ταῦτα θαυμασιώτατα δοκεῖ ὅσα ὥσπερ ἐπίτηδες φαίνεται γεγονέναι, οἷον...) 52 a 6* ; ζητοῦντες γὰρ οὐκ ἀπὸ τέχνης, ἀλλ' ἀπὸ τύχης εὗρον τὸ τοιοῦτον παρασκευάζειν ἐν τοῖς μύθοις 54 a 11.

* * *

Υ, la lettre *upsilon* : εἰς δὲ τὸ Υ πέντε [sc. ὀνόματα τελευτᾷ] · τὸ πῶϋ, τὸ νᾶπυ, τὸ γόνυ, τὸ δόρυ, τὸ ἄστυ 58 a 17 *var.* A cette liste de cinq noms, donnée par une partie très tardive de la tradition manuscrite (*codex Estense* 100, Modène, xv[e] s. ; additions récentes sur des manuscrits plus anciens), on peut encore ajouter τὸ μέθυ, boisson fermentée ; τὸ ἄσχυ, le suc ; τὸ γλάφυ, la caverne ; τὸ κάχρυ, l'orge grillée ; τὸ κόκκυ, le cri du coucou ; τὸ μῶλυ, le *moly* (plante) ; τὸ φῖτυ, le rejeton ; etc. etc.

ὑδαρής, ής, ές, délayé, affadi, affaibli : ὥστ' ἐὰν μὲν ἕνα μῦθον ποιῶσιν, ἢ βραχέως δεικνύμενον μύουρον φαίνεσθαι, ἢ ἀκολουθοῦντα τῷ συμμέτρῳ μήκει **ὑδαρῆ** 62 b 7.

υἱός (ὁ), fils : ὅταν δ' ἐν ταῖς φιλίαις ἐγγένηται τὰ πάθη, οἷον εἰ ἀδελφὸς ἀδελφὸν ἢ υἱὸς πατέρα ἢ μήτηρ υἱὸν ἢ υἱὸς μητέρα ἀποκτείνει ἢ μέλλει ἤ τι ἄλλο τοιοῦτον δρᾷ, ταῦτα ζητητέον 53 b 20* & 21 ; καὶ ἐν τῇ Ἕλλῃ ὁ υἱὸς τὴν μητέρα ἐκδιδόναι μέλλων ἀνεγνώρισεν 54 a 8 ; οἷον ἐν τῷ Κρεσφόντῃ ἡ Μερόπη μέλλει τὸν **υἱὸν** ἀποκτείνειν, ἀποκτείνει δὲ οὔ, ἀλλ' ἀνεγνώρισεν 54 a 6 ; καὶ ἐν τῷ Θεοδέκτου Τυδεῖ, ὅτι ἐλθὼν ὡς εὑρήσων υἱὸν αὐτὸς ἀπόλλυται 55 a 9 ; ἔτι δὲ τῶν οἴκοι οὕτως ἐχόντων ὥστε τὰ χρήματα ὑπὸ μνηστήρων ἀναλίσκεσθαι καὶ τὸν υἱὸν ἐπιβουλεύεσθαι 55 b 20.

ὕμνος (ὁ), hymne : οἱ δὲ εὐτελέστεροι τὰς τῶν φαύλων [sc. ἐμιμοῦντο πράξεις], πρῶτον ψόγους ποιοῦντες, ὥσπερ ἕτεροι **ὕμνους** καὶ ἐγκώμια 48 b 27.

ὑπάρχειν, commencer, résulter, exister, être : οὐ μόνον ταῦτα τεταγμένα δεῖ ἔχειν, ἀλλὰ καὶ μέγεθος ὑπάρχειν μὴ τὸ τυχὸν 50 b 37 ; εἰ μέντοι τὸ τέλος ἢ μᾶλλον ἢ ⟨μὴ⟩ ἧττον ἐνεδέχετο ὑπάρχειν καὶ κατὰ τὴν περὶ τούτων τέχνην 60 b 28 ; εἰ οὖν ἐστι τὰ ἄλλα κρείττων, τοῦτό γε οὐκ ἀναγκαῖον αὐτῇ ὑπάρχειν [sc. τῇ τραγῳδίᾳ] 62 a 13 ; ἃ μὲν γὰρ ἐποποιΐα ἔχει, **ὑπάρχει** τῇ τραγῳδίᾳ, ἃ δὲ αὐτῇ, οὐ πάντα ἐν τῇ ἐποποιΐᾳ 49 b 19 ; καὶ γὰρ αἱ πράξεις, ὧν μιμήσεις οἱ μῦθοί εἰσιν, **ὑπάρχουσιν** εὐθὺς οὖσαι τοιαῦται 52 a 13 ; αἰνίγματος γὰρ ἰδέα αὕτη ἐστί, τὸ λέγοντα **ὑπάρχοντα** ἀδύνατα συνάψαι 58 a 27.

ὑπεναντίος, ος, ον, opposé, contraire : καὶ ὡς εἰρηκότος ὅτι δοκεῖ ἐπιτιμῶσιν, ἂν **ὑπεναντίον** ᾖ τῇ αὐτῶν οἰήσει 61 b 3 ; εὑρίσκοι τὸ πρέπον, καὶ ἥκιστ' ἂν λανθάνοιτο τὰ **ὑπεναντία** 55 a 27 ; τὰ δ' ὑπεναντία ὡς εἰρη-

μένα 61 b 16 *var.* (voir ὑπεναντίως) ; ἢ γὰρ ὡς ἀδύνατα ἢ ὡς ἄλογα ἢ ὡς βλαβερὰ ἢ ὡς ὑπεναντία ἢ ὡς παρὰ τὴν ὀρθότητα τὴν κατὰ τέχνην 61 b 23.

ὑπεναντίωμα (τὸ), opposition, sens contraire : δεῖ δὲ καὶ ὅταν ὄνομά τι ὑπεναντίωμά τι δοκῇ σημαίνειν, ἐπισκοπεῖν ποσαχῶς ἂν σημήνειε τοῦτο ἐν τῷ εἰρημένῳ 61 a 32.

ὑπεναντίως, au contraire, contradictoirement : τὰ δ' ὑπεναντίως εἰρημένα οὕτω σκοπεῖν, ὥσπερ οἱ ἐν τοῖς λόγοις ἔλεγχοι, εἰ τὸ αὐτό, καὶ πρὸς τὸ αὐτό, καὶ ὡσαύτως 61 b 16.

ὑπερβάλλειν, dépasser, surpasser : γεγονότων γὰρ καθ' ἕκαστον μέρος ἀγαθῶν ποιητῶν, ἕκαστον τοῦ ἰδίου ἀγαθοῦ ἀξιοῦσι τὸν ἕνα ὑπερβάλλειν 56 a 7 ; ὡς λίαν γὰρ **ὑπερβάλλοντα**, πίθηκον ὁ Μυννίσκος τὸν Καλλιππίδην ἐκάλει 61 b 34 ; πρὸς γὰρ τούτοις λέξει καὶ διανοίᾳ πάντας **ὑπερβέβληκεν** [sc. ὁ Ὅμηρος] 59 b 17.

ὑπερέχειν, être supérieur, surpasser : τὸ γὰρ παράδειγμα δεῖ ὑπερέχειν 61 b 14.

ὑπό, ὑπ', ὑφ, sous, par l'effet de, sous l'influence de, par :

1° **avec le génitif** : 49 b 37 (ὑπό τινων) ; 51 b 36* (ὑπὸ μὲν τῶν φαύλων ποιητῶν... ὑπὸ δὲ τῶν ἀγαθῶν) ; 53 a 31 (ὑπό τινων) & 39 (ὑπ' οὐδενός) ; 53 b 24* (ὑπὸ τοῦ Ὀρέστου... ὑπὸ τοῦ Ἀλκμέωνος) ; 54 b 27 (ὑπὸ τῆς τροφοῦ), 28 (ὑπὸ τῶν συβοτῶν) & 31 (ὑπὸ τοῦ ποιητοῦ) ; 55 a 15 (*id.*) ; 55 b 18 (ὑπὸ τοῦ Ποσειδῶνος) & 20 (ὑπὸ μνηστήρων) ; 56 a 36 (ὑπὸ τοῦ λόγου) ; 56 b 6 (ὑπὸ τοῦ λέγοντος) ; 57 b 34 (ὑπό τινων) ; 59 b 27 (ὑφ' ὧν) ;

2° **avec l'accusatif** : 49 b 13 (ὑπὸ μίαν περίοδον ἡλίου).

ὑποδεικνύναι, montrer, proposer : οὕτω καὶ τὰ τῆς κωμῳδίας σχήματα πρῶτος **ὑπέδειξεν** [sc. ὁ Ὅμηρος] 48 b 37.

ὑπόθεσις (ἡ), hypothèse, supposition : τὸ μὲν γὰρ τὸ τόξον ἐντείνειν, ἄλλον δὲ μηδένα, πεποιημένον ὑπὸ τοῦ ποιητοῦ καὶ ὑπόθεσις 55 a 15.

ὑποκεῖσθαι, être par hypothèse, être admis, être proposé : ἡ γὰρ τοιαύτη ἀναγνώρισις καὶ περιπέτεια ἢ ἔλεον ἕξει ἢ φόβον, οἵων πράξεων ἡ τραγῳδία μίμησις **ὑπόκειται** 52 b 1.

ὑποκριτής (ὁ), acteur (au théâtre) : καὶ τὸ τῶν **ὑποκριτῶν** πλῆθος ἐξ ἑνὸς εἰς δύο πρῶτος Αἰσχύλος ἤγαγε · ... τρεῖς δὲ... Σοφοκλῆς 49 a 16 ; τίς δὲ πρόσωπα ἀπέδωκεν ἢ προλόγους ἢ πλήθη ὑποκριτῶν καὶ ὅσα τοιαῦτα, ἠγνόηται 49 b 5 ; ἡ γὰρ τῆς τραγῳδίας δύναμις καὶ ἄνευ ἀγῶνος καὶ ὑποκριτῶν ἐστιν 50 b 20 ; καὶ τὸν χορὸν δὲ ἕνα δεῖ ὑπολαβεῖν τῶν ὑποκριτῶν, καὶ μόριον εἶναι τοῦ ὅλου 56 a 26 ; ἐν μὲν τῇ τραγῳδίᾳ μὴ ἐνδέχεσθαι ἅμα πραττόμενα πολλὰ μέρη μιμεῖσθαι, ἀλλὰ τὸ ἐπὶ τῆς σκηνῆς καὶ τῶν ὑποκριτῶν μέρος μόνον · ἐν δὲ τῇ ἐποποιΐᾳ... 59 b 26 ; τοιαῦται δὲ [sc. τραγῳδίαι] ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθῶν διὰ τοὺς **ὑποκριτάς** 51 b 37 ; ἡ μὲν οὖν τραγῳδία τοιαύτη ἐστίν, ὡς καὶ οἱ πρότερον τοὺς ὑστέρους αὐτῶν ᾤοντο ὑποκριτάς 61 b 34.

ὑποκριτικός, ή, όν, propre au jeu de l'acteur, qui concerne l'art du comédien : τὰ σχήματα τῆς λέξεως, ἃ ἐστιν εἰδέναι τῆς **ὑποκριτικῆς** καὶ τοῦ τὴν τοιαύτην ἔχοντος ἀρχιτεκτονικήν 56 b 10 ; πρῶτον μὲν οὐ τῆς ποιητικῆς ἡ κατηγορία, ἀλλὰ τῆς ὑποκριτικῆς 62 a 5 ; πτῶσις δ' ἐστιν... ἡ μὲν κατὰ τὸ..., ἡ δὲ κατὰ τὸ..., ἡ δὲ κατὰ τὰ **ὑποκριτικά**, οἷον κατ' ἐρώτησιν ἢ ἐπίταξιν 57 a 21.

ὑπολαμβάνειν, supposer, admettre, comprendre : καὶ τὸν χορὸν δὲ ἕνα δεῖ **ὑπολαβεῖν** τῶν ὑποκριτῶν, καὶ μόριον εἶναι τοῦ ὅλου 56 a 25 ; τί γὰρ ἄν τις **ὑπολάβοι** ἡμαρτῆσθαι ἃ Πρωταγόρας ἐπιτιμᾷ [sc. τῷ Ὁμήρῳ] 56 b 15 ; ὡδὶ δὲ μάλιστ' ἄν τις ὑπολάβοι 61 a 35.

ὑπόληψις (ἡ), supposition, présomption, idée : ἐκεῖ μὲν γὰρ [sc. ἐν τῇ ἐποποιίᾳ] διὰ τὸ μῆκος λαμβάνει τὰ μέρη τὸ πρέπον μέγεθος, ἐν δὲ τοῖς δράμασι πολὺ παρὰ τὴν **ὑπόληψιν** ἀποβαίνει 56 a 15.

ὑποτιθέναι, supposer, soumettre, proposer : συστήσαντες γὰρ τὸν μῦθον διὰ τῶν εἰκότων οὕτω τὰ τυχόντα ὀνόματα **ὑποτιθέασι**, καὶ οὐχ ὥσπερ οἱ ἰαμβοποιοὶ περὶ τὸν καθ' ἕκαστον ποιοῦσιν 51 b 13 ; μετὰ ταῦτα δὲ ἤδη **ὑποθέντα** τὰ ὀνόματα ἐπεισοδιοῦν 55 b 12 ; τέταρτον δὲ τὸ ὁμαλόν · κἂν γὰρ ἀνώμαλός τις ᾖ ὁ τὴν μίμησιν παρέχων καὶ τοιοῦτον ἦθος **ὑποτεθῇ**, ὅμως ὁμαλῶς ἀνώμαλον δεῖ εἶναι 54 a 27 ; ὥστε καὶ λυτέον ἢ πρὸς ἃ αὐτὸς λέγει ἢ ὃ ἂν φρόνιμος **ὑποθῆται** 61 b 19.

ὕστερος, α, ον, qui vient après ; **ὕστερον**, plus tard, plus bas (dans le texte) : περὶ κωμῳδίας **ὕστερον** ἐροῦμεν 49 b 22 ; εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν 53 b 30 ; ἢ ὅσα πρὸ τοῦ γέγονεν..., ἢ ὅσα ὕστερον, ἃ δεῖται προαγορεύσεως καὶ ἀγγελίας 54 b 4 ; χρόνῳ δ' ὕστερον τῷ ἀδελφῷ συνέβη ἐλθεῖν τῆς ἱερείας 55 b 6 ; εἰ τὸ ὕστερόν ἐστι 60 a 21 ; τοῦ δὲ ἀνωμάλου [sc. παράδειγμα] ἡ ἐν Αὐλίδι Ἰφιγένεια · οὐδὲν γὰρ ἔοικεν ἡ ἱκετεύουσα τῇ **ὑστέρᾳ** 54 a 33 ; ἡ μὲν οὖν τραγῳδία τοιαύτη ἐστίν, ὡς καὶ οἱ πρότερον τοὺς **ὑστέρους** αὐτῶν ᾤοντο ὑποκριτάς 61 b 33.

ὑφαιρεῖν, retrancher, diminuer : ἅπαν δὲ ὄνομά ἐστιν ἢ κύριον ἢ γλῶττα ἢ μεταφορὰ ἢ κόσμος ἢ πεποιημένον ἢ ἐπεκτεταμένον ἢ **ὑφῃρημένον** ἢ ἐξηλλαγμένον 57 b 2 (*var.* ἀφῃρημένον : voir ἀφαιρεῖν).

* * *

φαγέδαινα (ἡ), ulcère, cancer : Αἰσχύλος μὲν γὰρ ἐν τῷ Φιλοκτήτῃ ἐποίησε · « φαγέδαινα ⟨δ'⟩ ἥ μου σάρκας ἐσθίει ποδός » · ὁ δὲ [sc. Εὐριπίδης] ἀντὶ τοῦ « ἐσθίει » τὸ « θοινᾶται » μετέθηκεν 58 b 23 (*var.* φαγάδαινα) : Eschyle, Nauck, *fr.* 253, p. 81 & Mette, *fr.* 397, p. 147-148.

φαίνεσθαι, être visible, apparaître, se montrer à l'évidence : οὔτε τοὺς ἐπιεικεῖς ἄνδρας δεῖ μεταβάλλοντας φαίνεσθαι ἐξ εὐτυχίας εἰς δυστυχίαν 52 b 35 ; πλὴν τοσοῦτον διαφέρει, ὅτι τὰ μὲν δεῖ φαίνεσθαι ἄνευ διδασκαλίας, τὰ δὲ ἐν τῷ λόγῳ... 56 b 5 ; τὸ μὲν οὖν φαίνεσθαί πως χρώμενον τούτῳ τῷ τρόπῳ γελοῖον 58 b 11 ; ὥστ' ἐὰν μὲν ἕνα μῦθον ποιῶσιν, ἢ βραχέως δεικνύμενον μύουρον φαίνεσθαι, ἢ ἀκολουθοῦντα τῷ συμμέτρῳ μήκει ὑδαρῆ 62 b 6 ; ἐπεὶ καὶ τῶν ἀπὸ τύχης ταῦτα θαυμασιώτατα δοκεῖ ὅσα ὥσπερ ἐπίτηδες **φαίνεται** γεγονέναι 52 a 7 ; καὶ ὁ Εὐριπίδης, εἰ καὶ τὰ ἄλλα μὴ εὖ οἰκονομεῖ, ἀλλὰ τραγικώτατός γε τῶν ποιητῶν φαίνεται 53 a 30 ; ποῖα οὖν δεινὰ ἢ ποῖα οἰκτρὰ φαίνεται τῶν συμπιπτόντων, λάβωμεν 53 b 14 ; τὸ μὲν φαίνεται καλόν, τὸ δ' εὐτελές 58 b 21 ; ἐπὶ γὰρ τῶν σκηνῶν καὶ τῶν ἀγώνων τραγικώταται αἱ τοιαῦται **φαίνονται**, ἂν κατορθωθῶσιν 53 a 28 ; ἂν δὲ θῇ, καὶ **φαίνηται** εὐλογωτέρως, ἐνδέχεσθαι, καὶ ἄτοπον 60 a 34 ; εἰ γάρ τις ἐν ἄλλῳ τινὶ μέτρῳ διηγηματικὴν μίμησιν ποιοῖτο ἢ ἐν πολλοῖς, ἀπρεπὲς ἂν **φαίνοιτο** 59 b 34 ; τί γὰρ ἂν εἴη τοῦ λέγοντος ἔργον, εἰ **φανοῖτο** ᾗ διάνοια καὶ μὴ διὰ τὸν λόγον ; 56 b 8 ; καὶ ταύτῃ θεσπέσιος ἂν **φανείη** Ὅμηρος παρὰ τοὺς ἄλλους, τῷ μηδὲ τὸν πόλεμον... ἐπιχειρῆσαι ποιεῖν ὅλον 59 a 31 ; ἐπεὶ τὰ περὶ τὴν Ἕκτορος δίωξιν ἐπὶ σκηνῆς ὄντα γελοῖα ἂν φανείη, οἱ μὲν ἑστῶτες καὶ οὐ διώκοντες, ὁ δὲ ἀνανεύων 60 a 15. — Voir **δοκεῖν**.

φαλλικόν [sc. μέλος] (ὁ), chant phallique : καὶ αὐτὴ καὶ ἡ κωμῳδία, καὶ ἡ μὲν [sc. τραγῳδία] ἀπὸ τῶν ἐξαρχόντων τὸν διθύραμβον, ἡ δὲ ἀπὸ τῶν τὰ **φαλλικά**, ἃ ἔτι καὶ νῦν ἐν πολλαῖς τῶν πόλεων διαμένει νομιζόμενα 49 a 11.

φάναι, dire, déclarer : **φησί** 56 b 17 ; ἅμα δέ φησιν 61 a 17 ; καὶ τὰς πράξεις εἶναί **φαμεν** ποιάς τινας 50 a 1 ; καθ' ὃ ποιούς τινας εἶναί φαμεν τοὺς πράττοντας 50 a 6 ; αὐτά **φασιν** 48 a 29 ; καλεῖν φασίν 48 a 36 ; ποτὲ καὶ ἄλλοτέ φασιν 51 a 9 ; ὥσπερ τινές φασι 53 a 13 ; ἢ οἷά φασιν 60 b 10 ; ὅτι οὕτω φασίν 60 b 35 ; ἀλλ' οὖν φασι 61 a 1 ; οἷόν φασιν εἶναι 61 a 28 ; ὥσπερ οἱ Κεφαλῆνές φασιν 61 b 7 ; πρὸς ⟨δ'⟩ ἅ φασι τἄλογα 61 b 14 ; ἐπιεικεῖς φασιν εἶναι 62 a 2 ; καὶ εἴγε τὸ τόξον **ἔφη** γνώσεσθαι ὃ οὐχ ἑωράκοι 55 a 16 ; οἷον καὶ Σοφοκλῆς ἔφη αὐτὸς μὲν οἵους δεῖ ποιεῖν, Εὐριπίδην δὲ οἷοι εἰσίν 60 b 34.

φανερός, ά, όν, visible, manifeste, évident : διὰ γὰρ τοῦ ἀναγινώσκειν **φανερὰ** ὁποία τίς ἐστιν [sc. ἡ τραγῳδία] 62 a 12 ; τὰ γὰρ μέτρα ὅτι μόρια τῶν ῥυθμῶν ἐστι, **φανερόν** 48 b 22 ; κατὰ μικρὸν ηὐξήθη [sc. ἡ τραγῳδία], προαγόντων ὅσον ἐγίγνετο φανερὸν αὐτῆς 49 a 14 ; φανερὸν δὲ ἐκ τῶν εἰρημένων καὶ ὅτι... 51 a 36 ; τὰ δὲ γενόμενα φανερὸν ὅτι δυνατά 51 b 18 ; φανερὸν. ὡς τοῦτο ἐν τοῖς πράγμασιν ἐμποιητέον 53 b 13 ; ἐὰν... ποιῇ φανερὸν ὁ λόγος 54 a 18 ; φανερὸν οὖν ὅτι καὶ τὰς λύσεις τῶν μύθων... 54 a 37 ; ὥστε φανερὸν ὅτι καὶ γλῶτταν καὶ κύριον εἶναι δυνατὸν τὸ αὐτό 57 b 4 ; ὧδ' ἂν θεωροῦσι γένοιτ' ἂν φανερόν 60 b 7 ; φανερὸν ὅτι κρείττων ἂν εἴη μᾶλλον τοῦ τέλους τυγχάνουσα τῆς ἐποποιΐας [sc. ἡ τραγῳδία] 62 b 13 ; οἷον οἵ τε ἐν τῷ **φανερῷ** θάνατοι καὶ αἱ περιωδυνίαι 52 b 12 ; λέγω δὲ λέξιν μέν..., μελοποιΐαν δὲ ὃ τὴν δύναμιν **φανερὰν** ἔχει πᾶσαν 49 b 35. — Voir δῆλος.

φάρμακον (τὸ), couleur, peinture : εἰ γάρ τις ἐναλείψειε τοῖς καλλίστοις **φαρμάκοις** χύδην, οὐκ ἂν ὁμοίως εὐφράνειεν καὶ λευκογραφήσας εἰκόνα 50 b 2.

φαῦλος, η, ον, mavais, défectueux, méchant, immoral : ὡς οὐκ ἂν ἦν ἀνεκτά, δῆλον ἂν γένοιτο, εἰ αὐτὰ φαῦλος ποιητὴς ποιήσειεν 60 b 1 ; καίτοι γε ἴσως τούτων τὸ μὲν χεῖρον, τὸ δὲ ὅλως **φαῦλόν** ἐστιν 54 a 21 ; οὐ μόνον σκεπτέον εἰς αὐτὸ τὸ πεπραγμένον ἢ εἰρημένον βλέποντα εἰ σπουδαῖον ἢ φαῦλον, ἀλλὰ καὶ εἰς τὸν πράττοντα ἢ λέγοντα 61 a 6 ; διόπερ ὅστις περὶ τραγῳδίας οἶδε σπουδαίας καὶ **φαύλης**, οἶδε καὶ περὶ ἐπῶν 49 b 18 ; πολλὴν κίνησιν κινοῦνται, οἷον οἱ **φαῦλοι** αὐληταὶ κυλιόμενοι, ἂν δίσκον δέῃ μιμεῖσθαι 61 b 30 ; οἱ μὲν γὰρ σεμνότεροι τὰς καλὰς ἐμιμοῦντο πράξεις καὶ τὰς τῶν τοιούτων, οἱ δὲ εὐτελέστεροι τὰς τῶν **φαύλων** 48 b 26 ; τοιαῦται δὲ ποιοῦνται ὑπὸ μὲν τῶν φαύλων ποιητῶν δι' αὐτούς, ὑπὸ δὲ τῶν ἀγαθων διὰ τοὺς ὑποκριτάς 51 b 36 ; εἶτα οὐδὲ κίνησις ἅπασα ἀποδοκιμαστέα, εἴπερ μηδ' ὄρχησις, ἀλλ' ἡ φαύλων 62 a 9 ; ἐπεὶ δὲ μιμοῦνται οἱ μιμούμενοι πράττοντας, ἀνάγκη δὲ τούτους ἢ σπουδαίους ἢ **φαύλους** εἶναι 48 a 2 ; τὴν μὲν οὖν πρὸς θεατὰς ἐπιεικεῖς φασιν εἶναι, ⟨οἳ⟩ οὐδὲν δέονται τῶν σχημάτων, τὴν δὲ τραγικὴν πρὸς φαύλους 62 a 4 ; ἡ δὲ κωμῳδία ἐστίν, ὥσπερ εἴπομεν, μίμησις **φαυλοτέρων** μέν, οὐ μέντοι κατὰ πᾶσαν κακίαν 49 a 31. — Voir κακός. Opp. ἀγαθός, σπουδαῖος.

φέρειν, porter, apporter : τὰ μὲν οὖν ἐπιτιμήματα ἐκ πέντε εἰδῶν **φέρουσιν** 61 b 22 ; ἐξῆν γὰρ ἂν ἔνια καὶ **ἐνεγκεῖν** 54 b 35 ; παρὰ γὰρ τὴν τούτων γνῶσιν ἢ ἄγνοιαν οὐδὲν εἰς τὴν ποιητικὴν ἐπιτίμημα **φέρεται** 56 b 14. — Voir διαφέρειν, ἐκφέρειν, μεταφέρειν.

φεύγειν, fuir, éviter : ἔστι δὲ ἦθος μὲν τὸ τοιοῦτον ὃ δηλοῖ τὴν προαίρεσιν, ὁποῖά τις, ἐν οἷς οὐκ ἔστι δῆλον, ἢ προαιρεῖται ἢ **φεύγει** (διόπερ οὐκ ἔχουσιν ἦθος τῶν λόγων ἐν οἷς μηδ' ὅλως ἔστιν ὅ τι προαιρεῖται ἢ φεύγει ὁ λέγων) 50 b 10 & 11.

φθαρτικός, ή, όν, destructeur, qui cause du dommage : πάθος δ' ἐστὶ πρᾶξις **φθαρτικὴ** ἢ ὀδυνηρά, οἷον οἵ τε ἐν τῷ φανερῷ θάνατοι καὶ αἱ περιω-

δυνίαι καὶ τρώσεις καὶ ὅσα τοιαῦτα 52 b 11 ; τὸ γὰρ γελοῖόν ἐστιν ἁμάρτημά τι καὶ αἶσχος ἀνώδυνον καὶ οὐ **φθαρτικόν**, οἷον εὐθὺς τὸ γελοῖον πρόσωπον αἰσχρόν τι καὶ διεστραμμένον ἄνευ ὀδύνης 49 a 34.

Φθιώτιδες (αἱ), les *Femmes de Phthie*, ou les *Phthiotides* : ἡ δὲ ἠθική [sc. τραγῳδία], οἷον αἱ Φθιώτιδες 56 a 1 (Sophocle : Nauck, p. 282 & St. Radt [*Tr. G. F.*, t. IV], p. 481).

φιάλη (ἡ), coupe : λέγω δὲ οἷον ὁμοίως ἔχει φιάλη πρὸς Διόνυσον καὶ ἀσπὶς πρὸς Ἄρην · ἐρεῖ τοίνυν τὴν **φιάλην** « ἀσπίδα Διονύσου » καὶ τὴν ἀσπίδα « φιάλην Ἄρεως » 57 b 20, 21 & 22 ; οἷον εἰ τὴν ἀσπίδα εἴποι « φιάλην » μὴ « Ἄρεως » ἀλλ' « ἄοινον » 57 b 32 : voir *Rhétorique*, p. 1407 a 17-18.

φιλάνθρωπος, ος, ον, qui aime les hommes, qui a des sentiments d'humanité : οὐδὲν γὰρ ἔχει ὧν δεῖ · οὔτε γὰρ **φιλάνθρωπον**, οὔτε ἐλεεινὸν οὔτε φοβερόν ἐστιν 52 b 38 ; τὸ μὲν γὰρ φιλάνθρωπον ἔχοι ἂν ἡ τοιαύτη σύστασις, ἀλλ' οὔτε ἔλεον οὔτε φόβον 53 a 2 ; ἐν δὲ ταῖς περιπετείαις καὶ ἐν τοῖς ἁπλοῖς πράγμασι στοχάζονται ὧν βούλονται θαυμαστῶς · τραγικὸν γὰρ τοῦτο καὶ φιλάνθρωπον 56 a 21.

φιλία (ἡ), lien d'amitié ou de parenté : ἀναγνώρισις δ' ἐστίν, ... ἐξ ἀγνοίας εἰς γνῶσιν μεταβολή, ἢ εἰς **φιλίαν** ἢ ἔχθραν, τῶν πρὸς εὐτυχίαν ἢ δυστυχίαν ὡρισμένων 52 a 31 ; ἔστι δὲ πρᾶξαι μέν, ἀγνοοῦντας δὲ πρᾶξαι τὸ δεινόν, εἶθ' ὕστερον ἀναγνωρίσαι τὴν φιλίαν, ὥσπερ ὁ Σοφοκλέους Οἰδίπους 53 b 31 ; ὅταν δ' ἐν ταῖς **φιλίαις** ἐγγένηται τὰ πάθη, οἷον εἰ ἀδελφὸς ἀδελφὸν ἢ υἱὸς πατέρα ἢ μήτηρ υἱὸν ἢ υἱὸς μητέρα ἀποκτείνει 53 b 19.

Φιλοκτήτης (ὁ), Philoctète, héros & titre de plusieurs tragédies : καὶ ἐκ τῆς μικρᾶς Ἰλιάδος πλέον ὀκτώ [sc. τραγῳδίαι], οἷον ὅπλων κρίσις, Φιλοκτήτης, Νεοπτόλεμος, Εὐρύπυλος, πτωχεία, Λάκαιναι, Ἰλίου πέρσις καὶ ἀπόπλους καὶ Σίνων καὶ Τρῳάδες 59 b 5 ; Αἰσχύλος μὲν γὰρ ἐν τῷ **Φιλοκτήτῃ** ἐποίησε · « φαγέδαινα ⟨δ'⟩ ἥ μου σάρκας ἐσθίει ποδός » · ὁ δὲ [sc. Εὐριπίδης] ἀντὶ τοῦ « ἐσθίει » τὸ « θοινᾶται » μετέθηκεν 58 b 22 (Eschyle : Nauck, *fr.* 253, p. 81 & Mette, *fr.* 397, p. 147-148 ; Euripide, Nauck, p. 613 s. & *fr.* 792, p. 618).

Φιλόξενος (ὁ), Philoxénos, poète : ὁμοίως δὲ καὶ περὶ τοὺς διθυράμβους καὶ περὶ τοὺς νόμους · ὥσπερ γὰρ Κύκλωπας Τιμόθεος καὶ Φιλόξενος, μιμήσαιτο ἄν τις 48 a 15.

φίλος, η, ον, ami : ἐκεῖ γάρ, οἳ ἂν ἔχθιστοι ὦσιν ἐν τῷ μύθῳ, οἷον Ὀρέστης καὶ Αἴγισθος, **φίλοι** γενόμενοι ἐπὶ τελευτῆς ἐξέρχονται, καὶ ἀποθνήσκει οὐδεὶς ὑπ' οὐδενός 53 a 38 ; ἀνάγκη δὴ ἢ **φίλων** εἶναι πρὸς ἀλλήλους τὰς τοιαύτας πράξεις ἢ ἐχθρῶν ἢ μηδετέρων 53 b 15.

φιλόσοφος (ὁ), philosophe : αἴτιον δὲ καὶ τοῦτο ὅτι μανθάνειν οὐ μόνον τοῖς **φιλοσόφοις** ἥδιστον, ἀλλὰ καὶ τοῖς ἄλλοις ὁμοίως 48 b 13.

φιλόσοφος, ος, ον, qui est du domaine de la philosophie, philosophique : διὸ καὶ **φιλοσοφώτερον** καὶ σπουδαιότερον ποίησις ἱστορίας ἐστίν · ἡ μὲν γὰρ ποίησις μᾶλλον τὰ καθόλου, ἡ δ' ἱστορία τὰ καθ' ἕκαστον λέγει 51 b 5.

Φινεῖδαι (οἱ), les *Phinéides* ou les *Fils de Phinée*, titre d'une tragédie : τετάρτη δὲ [sc. ἀναγνώρισις] ἡ ἐκ συλλογισμοῦ, οἷον... ἡ ἐν τοῖς **Φινείδαις** · ἰδοῦσαι γὰρ τὸν τόπον συνελογίσαντο τὴν εἱμαρμένην, ὅτι ἐν τούτῳ εἵμαρτο ἀποθανεῖν αὐταῖς · καὶ γὰρ ἐξετέθησαν ἐνταῦθα 55 a 10 (Nauck, p. 841).

φλόξ (ἡ), flamme, rayon : τὸ δὲ τὴν **φλόγα** ἀπὸ τοῦ ἡλίου ἀνώνυμον... διὸ εἴρηται « σπείρων θεοκτίσταν φλόγα [sc. ὁ ἥλιος] » 57 b 27 & 30 (*fr. trag. adespot.* 85, Nauck p. 856).

φοβερός, ά, όν, effrayant, qui provoque la crainte : οὐ γὰρ **φοβερὸν** οὐδὲ

ἐλεεινὸν τοῦτο, ἀλλὰ μιαρόν ἐστιν 52 b 36 ; οὔτε γὰρ φιλάνθρωπον οὔτε ἐλεεινὸν οὔτε φοβερόν ἐστιν 53 a 1 ; φόβος δὲ περὶ τὸν ὅμοιον, ὥστε οὔτε ἐλεεινὸν οὔτε φοβερὸν ἔσται τὸ συμβαῖνον 53 a 6 ; ἔστι μὲν οὖν τὸ φοβερὸν καὶ ἐλεεινὸν ἐκ τῆς ὄψεως γίνεσθαι 53 b 1 ; οἱ δὲ μὴ τὸ φοβερὸν διὰ τῆς ὄψεως, ἀλλὰ τὸ τερατῶδες μόνον παρασκευάζοντες οὐδὲν τραγῳδίᾳ κοινωνοῦσιν 53 b 9 ; ἐπεὶ δὲ οὐ μόνον τελείας ἐστὶ πράξεως ἡ μίμησις, ἀλλὰ καὶ **φοβερῶν** καὶ ἐλεεινῶν 52 a 2 ; ἐπειδὴ οὖν δεῖ τὴν σύνθεσιν εἶναι τῆς καλλίστης τραγῳδίας μὴ ἁπλῆν ἀλλὰ πεπλεγμένην, καὶ ταύτην φοβερῶν καὶ ἐλεεινῶν εἶναι μιμητικήν 52 b 32.

